OSTEN

ΑΝΑΣΤΑΣΙΟΥ Γ. ΤΑΓΗ Δ. Φ.

ΒΙΒΛΙΟΘΗΚΗ

ΑΣΤΙΚΗΣ ΣΧΟΛΗΣ

ΤΟΜΟΣ Α'.

ΔΙΑ ΤΗΝ ΠΕΜΠΤΗΝ ΚΑΙ ΕΚΤΗΝ ΤΑΞΙΝ ΑΣΤΙΚΗΣ ΣΧΟΛΗΣ

Η

ΤΗΝ ΠΡΩΤΗΝ ΕΛΛΗΝΙΚΟΥ ΣΧΟΛΕΙΟΥ

ΚΑΤΑ ΤΟ ΠΡΟΓΡΑΜΜΑ ΤΗΣ Π. Κ. ΕΚΠ. ΕΠΙΤΡΟΠΗΣ

ΕΚΔΟΣΙΣ ΔΕΥΤΕΡΑ

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ Ι. Κ. ΣΕΙΤΑΝΙΔΟΥ

Εν Γαλατᾷ, ὁδῷ Μαχμουδιέ, ἀριθ. 7—9.

1910

ΑΝΑΣΤΑΣΙΟΥ Γ. ΤΑΓΗ Δ. Φ.

ΒΙΒΛΙΟΘΗΚΗ

ΑΣΤΙΚΗΣ ΣΧΟΛΗΣ

ΤΟΜΟΣ Α΄.

ΔΙΑ ΤΗΝ ΠΕΜΠΤΗΝ ΚΑΙ ΕΚΤΗΝ ΤΑΞΙΝ ΑΣΤΙΚΗΣ ΣΧΟΛΗΣ

Η

ΤΗΝ ΠΡΩΤΗΝ ΕΛΛΗΝΙΚΟΥ ΣΧΟΛΕΙΟΥ

ΚΑΤΑ ΤΟ ΠΡΟΓΡΑΜΜΑ ΤΗΣ Π. Κ. ΕΚΠ. ΕΠΙΤΡΟΠΗΣ

ΕΚΔΟΣΙΣ ΔΕΥΤΕΡΑ

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ Ι. Κ. ΣΕΪΤΑΝΙΔΟΥ

Εν Γαλατᾷ, ὁδῷ Μαχμουδιέ, ἀριθ. 7—9.

1909

SISMANOGLIO

Ὑπισχνούμεθα ἀμοιβὴν δίλιρον μὲν τῷ ἐπιδείξοντι ἡμῖν ἀντίτυπον ἐκ τυποκλοπίας, πεντάλιρον δὲ τῷ ὑποδείξοντι καὶ τὸν βιβλιοπώλην ἢ τὸν τυποκλόπον, πρὸς δὲ καὶ τὸ ἥμισυ τῆς παρὰ τούτου ἀποζημιώσεως.

Τὰ γνήσια ἀντίτυπα φέρουσιν ἰδιόχειρον ὑπογραφὴν τῆς θυγατρὸς τοῦ συγγραφέως, χήρας Ἐλπινίκης Μαυρογορδάτου καὶ ἰδιαιτέραν σφραγῖδα τοῦ συγγραφέως ἐν τῷ τελευταίῳ φύλλῳ.

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Ν. Γ. ΚΕΦΑΛΙΔΟΥ
(Γαλατᾷ Πεμπτοπαζάρῳ, ὁδῷ Τσισμέ, ἔναντι τοῦ Λουτροῦ ἀρ. 4.)

ΠΡΟΛΟΓΟΣ

Πεῖρα πολυετὴς κατέδειξε καὶ ἄνδρες ἐντριβεῖς τοῖς γράμμασιν ἀπεφήναντο, ὅτι οἱ μαθηταὶ πρὸ πάντων τοῦ Σχολείου δέον νὰ ἔχωσιν ἐν χερσὶ κείμενον πρὸς ἐκμάθησιν τῆς γλώσσης οὗ μόνον ἀνάλογον καὶ προσιτὸν ταῖς αὐτῶν δυνάμεσιν, ἀλλὰ καί πως ποικίλον, ἐπαγωγὸν καὶ διδακτικὸν ἅμα, ὅσον τὸ δυνατόν. Εἰς τοῦτο βεβαίως ἀπέβλεψαν καὶ ἐπιτροπαί, ἐπισήμως διορισθεῖσαι καὶ συνέστησαν ἀπανθισμὸν ὕλης ἐξ ὡρισμένων συγγραφέων.

Ἂν οἱ τοὺς συγγραφεῖς ὁρίσαντες ἐνόησαν καὶ ὁδηγίαν τινὰ καὶ διευκόλυνσιν τοῦ μαθητοῦ εἰς τὴν κατάληψιν τῶν ἀπανθιστέων τεμαχίων, ἀγνοῶ, ἀλλ' ὅμως βλέπω ὅτι πάντες οἱ μέχρι τοῦδε ἐκδόντες Χρηστομαθείας, κατὰ τὰ ἐπίσημα προγράμματα τὴν τῆς ὕλης ἐκλογὴν ποιησάμενοι, ὡς ἑκάστῳ ἐδόκει, ἀπέβλεψαν καὶ εἰς ποιάν τινα τοῦ μαθητοῦ βοήθειαν, τάξαντες ὑπὸ τὸ κείμενον ποικίλας σημειώσεις. Καὶ ἡμεῖς ὡσαύτως νομίζομεν ὅτι ὁ μαθητὴς ἐν τῇ προπαρασκευῇ τοῦ μαθήματος εἶναι ἀπολύτως ἀδύνατον νὰ κατορθώσῃ τι ἄνευ βοηθήματός τινος, ἀλλὰ θὰ ἀναγκάζηται ἀπροπαράσκευος νὰ φοιτᾷ εἰς τὸ Σχολεῖον καὶ νὰ ἀναμένῃ πάντοτε πάντα παθητικῶς ἐκ τοῦ στόματος τοῦ διδασκάλου, τὸ δὲ τοιοῦτο, παρέχον κόπον καὶ κόρον διὰ τὴν συνεχῆ τοῦ

νοῦ προσοχὴν θὰ γίνηται πολλάκις ἀφορμὴ ἀδιαφορίας εἰς τὴν διδασκαλίαν ἄλλως τε καὶ τοῦ παιδὸς φύσει ῥέποντος εἰς ἐντυπώσεις παιδικάς. Ἂν ὅμως τοὐναντίον ὁ παῖς προπαρασκευασθῇ πως οἵκοι, θὰ δυνηθῇ ἐν τῷ Σχολείῳ καὶ ἀπονώτερον καὶ ταχύτερον νὰ ἐννοήσῃ τὸν διδάσκαλον, τὸ δὲ μικρὸν φῶς, ὅπερ αὐτὸς ἀνῆψε προμελετῶν καὶ κατεῖδε τὰ πράγματα, θὰ ἴδῃ εὐθὺς μεταβαλλόμενον εἰς λαμπάδα φαεινοτάτην ἐκ τῶν τοῦ διδασκάλου ὁδηγιῶν, τοῦθ' ὅπερ οὐ μικρὰν ἡδονὴν θὰ προξενήσῃ εἰς αὐτόν. Πλὴν τούτου διὰ τῆς προμελέτης ἐξεγείρεται ἐγκαίρως ἡ τοῦ μαθητοῦ αὐτενέργεια, ἀνατρέχοντος ἐπὶ τὴν εὕρεσιν τοῦ ζητουμένου, ἐκ δὲ τῆς εὑρέσεως ταύτης εἰς τὴν ἐπιδίωξιν καὶ ἄλλου ζητουμένου καὶ ἐν γένει εἰς τὴν ἐξακρίβωσιν καὶ διαλεύκανσιν τῶν ἀγνοουμένων.

Ἂν ἐνήλικες καὶ αὐτοὶ ἔτι οἱ διδάσκαλοι αἰσθάνονται τὴν ἀνάγκην βοηθημάτων, ἄλλος μᾶλλον, ἄλλος δ' ἧττον, μηδεὶς δὲ πέφυκε προειδώς, μηδ' ἐννοεῖ τὸ πρῶτον ἤδη προσπίπτον ἄνευ τινὸς προηγουμένης γνώσεως, πολλῷ μᾶλλον χρῄζει βοηθήματος ὁ παῖς ὁ εἰς πάντα πρωτόπειρος. Δὲν ἐννοοῦμεν βοήθειαν ἐκ τῶν σημειώσεων, τὰς ὁποίας ἴσως τινὲς ἀπαιτοῦσιν ἵνα ὁ μαθητὴς κρατῇ ἐν καιρῷ διδασκαλίας· διότι πρῶτον ὁ παῖς δὲν προλαμβάνει νὰ γράψῃ καὶ δεύτερον δὲν δύναται, οὐδὲ χρησιμεύουσιν αἱ τοιαῦται σημειώσεις ὡς ὁδηγία εἰς τὴν μετὰ ταῦτα μελέτην, ἀφ' οὗ μηδεμία γίνεται χρῆσις αὐτῶν. Δὲν πιστεύομεν δὲ καὶ ὅτι θὰ συστήσῃ τις τὴν ἐκ τῶν ὑπαρχόντων λεξικῶν βοήθειαν, ῥίπτων τὸν παῖδα εἰς λαβύρινθον ἢ εἰς πέλαγος ἀχανές. ἐν ᾧ οὐδεμία ἡ ἄγρα, οὐδεμία ἡ κάρπωσις.

Βοηθείας λοιπὸν καὶ πάλιν βοηθείας καταλλήλου χρῄζει ὁ πρωτόπειρος. Τὴν βοήθειαν ταύτην ἐν νῷ ἔχοντες πολλοὶ ἐφιλοπόνησαν Χρηστομαθείας ἄλλά, κατ' ἐμέ, περιέπεσον

εἰς ἐλάττωμα σπουδαιότατον, τάξαντες ὑπὸ τὸ κείμενον τὰς οἱασδήποτε ἐξηγητικὰς σημειώσεις. Τοιαῦτα βιβλία ἐν χερσὶ κρατῶν ὁ μαθητὴς καὶ ἐρωτώμενος ὑπὸ τοῦ διδασκάλου τὴν σημασίαν λέξεως ἢ φράσεως, ἢ σύνταξίν τινα, πάραυτα ῥίπτει βλέμμα εἰς τὰς σημειώσεις, ἢ αἰδῶ προσποιούμενος καὶ μὴ ἀτενὲς ὁρῶν ὑποκλέπτει τὴν ζητουμένην σημασίαν, οὕτω δ' ἥκιστα μέλει αὐτῷ τῆς προμελέτης καὶ ἀκριβοῦς τῶν μεμαθημένων διαφυλάξεως, ἀρκουμένῳ ὅτι ἀπήντησε ῥᾳδίως καὶ εὐστόχως ἀπάντησιν, τὴν ὁποίαν μετ' ὀλίγον λησμονεῖ, ἅτε ἐσπευσμένως ἁρπαγεῖσαν καὶ ἀποδοθεῖσαν.

Τὴν ἔλλειψιν λοιπὸν ταύτην ἐνομίσαμεν ὅτι ἔπρεπεν ἡμεῖς νὰ ἀποφύγωμεν ἐν τῷ ἐγχειριδίῳ τούτῳ, ὡς καὶ ἐν τοῖς ἄλλοις, ἐκπονήσαντες λεξικὸν ἀκριβέστατον, οὐδὲν μὲν περιττὸν ἔχον, πάντα δέ, πιστεύομεν, ἡρμοσμένα πρὸς τὴν τοῦ παιδὸς φύσιν. Καὶ περὶ μὲν τῆς ὕλης, ἣν ἀπηνθίσαμεν ἐκ τῶν ὡρισμένων συγγραφέων, ἐν πλείστοις διάφορον τῆς τῶν ἄλλων Χρηστομαθειῶν, λέγομεν ὅτι κέκτηται πάντα τὰ προσόντα, ὅσα αἱ ἐπιτροπαὶ εἶχον ὑπ' ὄψει, πρὸς δὲ καὶ εἶναι ἀπηλλαγμένη πάσης λέξεως ἢ φράσεως κακεμφάτου. Ἐν δὲ τῷ λεξικῷ θὰ εὕρῃ ὁ μαθητὴς α΄) τὴν θεμελιώδη καὶ ὅσον ἔνεστιν ἀκριβῆ τῆς λέξεως σημασίαν, ἐξ ἧς εὐκόλως προκύπτει πᾶσα ἄλλη τροπικὴ σημασία, πρὸς δὲ καὶ τὴν ἐξήγησιν τῆς προθέσεως, μεθ' ἧς ἐν ῥῆμα συντίθεται· β΄) τοὺς χρόνους τῶν ῥημάτων, ἀπαλλαττόμενος οὕτω τοῦ ἀναζητεῖν αὐτοὺς ἐν ἄλλῳ τινὶ βιβλίῳ· γ΄) τὴν πρακτικὴν τοῦ ῥήματος σύνταξιν, ὅπως προϊὼν ὁ μαθητὴς ἀναζητῇ τὰ ἀπαιτούμενα ἀντικείμενα· δ) τὴν ἐξήγησιν πασῶν τῶν λέξεων καὶ φράσεων, ἀναλυομένων τῶν μετοχῶν καὶ ἀπαρεμφάτων ε΄) ἐνιαχοῦ τὰ ὀνόματα τῶν διαφόρων διορισμῶν. Καίτοι δὲ πολλῶν τινων φαίνεται περιεκτικὸν τὸ λεξικόν, ἀλλ' ἔχει συντομίαν μεγίστην μετὰ τῆς προσηκούσης σαφηνείας, ὥστε

νὰ δύναται ὁ παῖς νὰ συμβουλεύηται αὐτὸ ἄνευ τοῦ ἐλαχίστου κόπου καὶ ἀεὶ μετ' ἐπιτυχίας.

Τέλος ὑπὸ τὸ κείμενον ἐτάξαμεν πρακτικὰς συντακτικὰς ἀσκήσεις, τῶν ὁποίων συνέχειαν μὲν θὰ κάμωμεν ἐν τοῖς ἑπομένοις τεύχεσιν, ἐπανάληψιν δὲ καὶ συμπλήρωσιν ἐν τοῖς γυμναστικοῖς τεύχεσι. Διὰ τῆς ὁδοῦ ταύτης, τῶν πρακτικῶν συντακτικῶν ἀσκήσεων, βαθμηδὸν γινομένης καὶ ἐν συχνῇ ἐπανολήψει, ἐλπίζομεν ὅτι ὁ πρωτόπειρος εὐκολώτατα κατόπιν θὰ εἰσαχθῇ εἰς τὴν μετὰ θεωρίας σύνταξιν.

Οὕτω λοιπὸν πεποίθαμεν ὅτι, ἂν καὶ οἱ διδάσκαλοι ἀναγκάζωσι τοὺς ἑαυτῶν μαθητὰς νὰ προμελετῶσι συμβουλευόμενοι τὸ λεξικὸν καὶ ἐφαρμόζοντες καὶ τὰς συντακτικὰς ἀσκήσεις, θὰ ἦναι τὰ ἀποτελέσματα ἀξιόλογα.

ΑΝΑΣΤΑΣΙΟΣ Γ. ΤΑΓΗΣ
Δ. Φ.

ΑΙΣΩΠΟΥ

Ὁ Αἴσωπος, Φρὺξ τὴν πατρίδα, ἐγεννήθη ἐκ γονέων δούλων περὶ τὰ τέλη τῆς 7ης π. Χ. ἑκατονταετηρίδος. Ἦτο λοιπὸν σύγχρονος τοῦ Κροίσου καὶ τοῦ Σόλωνος. Ὡς δοῦλος ὑπηρέτησε κατ' ἀρχὰς τῷ Ἀθηναίῳ Δεινάρχῳ, ὕστερον δὲ παρὰ τῷ Σαμίῳ Ξάνθῳ καὶ τελευταῖον παρὰ τῷ φιλοσόφῳ Ἰάδμονι. Οὗτος ὅμως κατανοήσας τὴν εὐφυΐαν τοῦ Αἰσώπου καὶ ἀγαπήσας αὐτὸν ἀπηλευθέρωσεν. Ἤδη ὁ Αἴσωπος, ἔχων ὀξὺ παρατηρητικὸν καὶ εὐφυΐαν ἔκτακτον, ἐπολλαπλασίασε τὰς γνώσεις του. Φιλοσοφῶν δὲ ἐπὶ τῶν ἀνθρωπίνων πράξεων καὶ γνώμας σχηματίζων ἠθικάς, ἐνέδυσε ταύτας ἔνδυμα μυθικόν· διότι τὰ εἰς τοὺς ἀνθρώπους συμβαίνοντα κακὰ ἢ καλὰ παρέστησε κατὰ τρόπον λίαν καταληπτὸν ἐν ταῖς σχέσεσι τῶν ἀλόγων ζῴων, οἰκιδίων τε καὶ μή. Καὶ ὁ παῖς ἀναγινώσκων τοὺς μύθους, εὐκόλως μεταφέρει τὰ μεταξὺ τῶν ζῴων συμβαίνοντα εἰς τὸν βίον τῶν ἀνθρώπων. Καὶ πρὸ τοῦ Αἰσώπου ὑπῆρξαν συγγραφεῖς παριστάντες μυθικῶς τὰς τῶν ἀνθρώπων σχέσεις, ἀλλὰ συστηματικῶς πρῶτος ὁ Αἴσωπος φαίνεται καλλιεργήσας τὴν διδακτικὴν μυθοποιΐαν καὶ ὑπόληψιν μεγίστην λαβὼν ἀνὰ πᾶσαν τὴν Ἑλλάδα. Ὡς σοφὸς ἀνὴρ προσεκλήθη ὑπὸ τοῦ βασιλέως Κροίσου, παρὰ τῷ ὁποίῳ ἔζησεν ἱκανὸν χρόνον, ὅτε δὲ ὑπὸ τοῦ βασιλέως ἐστάλη εἰς τὸ μαντεῖον τῶν Δελφῶν κομιστὴς πλουσίων δώρων (564 π. Χ.), οἱ τῶν Δελφῶν κάτοικοι κατεκρήμνισαν αὐτὸν ἐκ τινος βράχου, ὡς ἱερόσυλον, διότι μέρος τῶν δώρων τούτων εἶχεν ἀποκρύψει.

ΜΥΘΟΙ

1. Ἵππος καὶ ἱπποκόμος.

(Car. Halm. 176).

Ἁπλῆ τοῦ σώματος περιποίησις δὲν ἐξαρκεῖ εἰς τὸ κάλλος αὐτοῦ.

Κριθὴν τὴν τοῦ ἵππου ἱπποκόμος κλέπτων καὶ πωλῶν, τὸν ἵππον ἔτριβε καὶ ἐκτένιζε πάσας ἡμέρας. Ἔφη δὲ ὁ ἵππος· «εἰ θέλεις ἀληθῶς καλὸν εἶναί με, τὴν κριθὴν τὴν τρέφουσαν μὴ πώλει».

2. Κύων καὶ λαγωός.

(Halm. 229).

Ὁ ἐχθρὸς πολλάκις φαίνεται διπρόσωπος.

Κύων λαγωὸν διώξας ἐκράτησε, καὶ ποτὲ μὲν ἔδακνε, ποτὲ δὲ σαίνων προσέχαιρε καὶ ἐφίλει. Καὶ ὁ λαγωὸς εἶπεν «εἰ μὲν φίλος εἶ, τί δάκνεις; εἰ δὲ ἐχθρός, τί σαίνεις οὐράν;»

Σημείωσις. Ζήτησον τὴν ἐξήγησιν πάσης λέξεως καὶ φράσεως ἐν τῷ ὄπισθεν Λεξιλογίῳ.

Πρακτικαὶ συντακτικαὶ ἀσκήσεις.

α' ἄσκησις. Ὁ πρωτόπειρος τῆς συντάξεως μαθητής, ἀφ' οὗ αὐτὸς ἑαυτὸν ἐρωτήσῃ τὰ ἐρωτήματα.

Μυθ. 1. *τίς ἔτριβε; τίς ἐκτένιζε; τίς ἔφη;* ἀμέσως θὰ ἐννοήσῃ καὶ θὰ εἴπῃ: *ἱπποκόμος ἔτριβεν· ἱπποκόμος ἐκτένιζεν· ὁ ἵππος ἔφη.*

Μυθ. 2. Ὡσαύτως κατόπιν τῶν ἐρωτήσεων *τίς ἐκράτησε; τίς ἔδακνε; τίς προσέχαιρε; τίς ἐφίλει; τίς εἶπεν;* ἁπάντων θὰ τάξῃ ὁμοῦ (θὰ συντάξῃ) τὰς δύο λέξεις: *κύων ἐκράτησε κύων ἔδακνε· κύων προσέχαιρε· κύων ἐφίλει· ὁ λαγωὸς εἶπεν.*

3. Τέττιξ καὶ ἀνήρ.

(Halm. 65 β).

Μὴ ἐπιθύμει τὰ ἄχρηστα καὶ ἀνωφελῆ.

Τέττιξ, ἄνδρα τινὰ θεασάμενος κατασχεῖν αὐτὸν μηχανώμενον, ἔφη πρὸς αὐτόν «ἐκείνοις τοῖς ὀρνέοις ἐπέρχου, παρ' ὧν σοι καὶ ὄφελός τι προσγενήσεται· ἐμὲ γὰρ ἂν κατάσχῃς, οὐδὲν ἐξ ἐμοῦ τὸ παράπαν κερδανεῖς».

4. Γαλῆ.

(Halm 86)

Ὁ φιλόνικος ἑαυτὸν βλάπτει.

Γαλῆ εἰσελθοῦσα εἰς χαλκέως ἐργαστήριον, τὴν ἐκεῖ κειμένην ῥίνην περιέλειχε. Συνεδῆ δὲ, ἐκτριβομένης τῆς γλώσσης, πολὺ αἷμα φέρεσθαι. Ἡ δὲ ἐτέρπετο ὑπονοοῦσά τι τοῦ σιδήρου ἀφαιρεῖσθαι, μέχρι παντελῶς ἀπέβαλε τὴν γλῶσσαν.

5. Γυνὴ καὶ ὄρνις.

(Halm. 111)

Οἱ πλεονέκται πολλάκις κάνουσι καὶ ὅ,τι ἔχουσιν.

Γυνή τις χήρα ὄρνιν εἶχε, καθ' ἑκάστην ἡμέραν ὠὸν αὐτῇ τίκτουσαν. Νομίσασα δὲ ὡς εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλοι, δὶς τίθεται τῆς ἡμέρας, τοῦτο πεποίηκεν. Ἡ δ' ὄρνις, πιμελὴς γενομένη, οὐδ' ἅπαξ τῆς ἡμέρας τεκεῖν ἠδύνατο.

Μυθ. 3. *Τίς ἔφη; τέττιξ ἔφη· τί προσγενήσεται; ὄφελος προσγενήσεται.*

Μυθ. 4. *Τίς περιέλειχε; γαλῆ περιελειχε· τί συνέβη; φέρεσθαι συνέβη* (ἰδὲ ἐν τῷ Λεξ. τὸ ῥῆμα *συνέβη*)· *τίς ἐτέρπετο; ἡ δὲ* (=ἐκείνη δὲ, δηλ. ἡ γαλῆ) *ἐτέρπετο· τίς ἀπέβαλε; ἡ δὲ* (ἡ γαλῆ) *ἀπέβαλεν.*

Μυθ. 5. *Τίς εἶχε; γυνὴ εἶχε· τίς παραβάλοι; γυνὴ παραβάλοι· τίς*

6. Ἀλώπηξ πρὸς μορμολύκειον.

(Halm. 47).

Πολλοὶ μεγαλοπρεπεῖς τὸ σῶμα στεροῦνται νοῦ.

Ἀλώπηξ εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν μορμολυκείου εὐφυῶς κατεσκευασμένην· ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσὶν ἔφη· «ὦ δι' κεφαλὴ καὶ ἐγκέφαλον οὐκ ἔχει».

7. Ἀλώπηξ καὶ πάρδαλις.

(Halm. 42).

Ὁ ψυχικὸς κόσμος εἶναι ἀνώτερος τοῦ σωματικοῦ.

Ἀλώπηξ καὶ πάρδαλις περὶ κάλλους ἤριζον. Τῆς δὲ παρδάλεως παρ' ἕκαστα τὴν τοῦ σώματος ποικιλίαν προβαλλομένης, ἡ ἀλώπηξ ὑποτυχοῦσα ἔφη· «καὶ πόσον ἐγώ σου καλλίων ὑπάρχω, ἥτις οὐ τὸ σῶμα, τὴν δὲ ψυχὴν πεποίκιλμαι;»

8. Κηπωρός.

(Halm. 191).

Οἱ παῖδες οὐχ ὁμοίως τρέφονται ὑπὸ τῆς μητρυιᾶς, ὡς ὑπὸ τῆς μητρός.

Κηπωρῷ τις ἐπιστὰς ἀρδεύοντι λάχανα ἐπυνθάνετο αὐτοῦ, δι' ἣν αἰτίαν τὰ μὲν ἄγρια τῶν λαχάνων εὐθαλῆ τε ἐστὶ καὶ στερρά, τὰ δὲ ἥμερα λεπτὰ καὶ μεμαρασμένα· κἀκεῖνος ἔφη· «ἡ γῆ τῶν μὲν μήτηρ, τῶν δὲ μητρυιά ἐστιν».

πέξεται; ἢ ὄρνις πέξεται· τίς πεποίηκεν; ἡ γυνὴ πεποίηκεν· τίς οὐκ ἠδύνατο; ἢ ὄρνις οὐκ ἠδύνατο.

Μυθ. 6. Τίς εὗρε; ἀλώπηξ εὗρε· τίς ἔφη; ἀλώπηξ ἔφη· τίς οὐκ ἔχει; ἡ κεφαλὴ οὐκ ἔχει.

Μυθ. 7. Τίνες ἤριζον; ἀλώπηξ καὶ πάρδαλις ἤριζον· τίς ἔφη; ἡ ἀλώπηξ ἔφη.

Μυθ. 8. Τίς ἐπυνθάνετο; τίς (= ἕναις) ἐπυνθάνετο· τίς ἔφη; ἐκεῖνος (ὁ κηπωρός) ἔφη.

9. Χελώνη καὶ ἀετός.

(Halm 416).

Οἱ παρακούοντες τὰς συμβουλὰς τῶν φρονίμων βλάπτονται.

Χελώνη ἀετοῦ ἐδεῖτο ἵπτασθαι αὐτὴν διδάξαι. Τοῦ δὲ παραινοῦντος πόρρω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. Λαβὼν οὖν αὐτὴν τοῖς ὄνυξι καὶ εἰς ὕψος ἀνενεγκὼν εἶτ' ἀφῆκεν. Ἡ δὲ κατὰ πετρῶν πεσοῦσα συνετρίβη.

10. Αἴλουρος καὶ ὄρνιθες.

(Halm. 16).

Ὁ νοῦν ἔχων διαγινώσκει τὸν πονηρὸν καὶ κακοῦργον.

Αἴλουρος ἀκούσας ὅτι ἓν τινι ἐπαύλει ὄρνιθες νοσοῦσι, σχηματίσας ἑαυτὸν εἰς ἰατρόν, καὶ τὰ τῆς ἐπιστήμης πρόσφορα ἀναλαβὼν ἐργαλεῖα παρεγένετο, καὶ στὰς πρὸ τῆς ἐπαύλεως ἐπυνθάνετο αὐτῶν, πῶς ἔχοιεν· αἱ δὲ ὑποτυχοῦσαι «καλῶς», ἔρασαν, «ἐὰν σὺ ἐντεῦθεν ἀπαλλαγῇς».

Μυθ. 9. Τίς ἐδεῖτο; χελώνη ἐδεῖτο· τίς προσέκειτο; ἐκείνη (ἡ χελώνη) προσέκειτο· τίς ἀφῆκεν; ὁ ἀετὸς ἀφῆκε· τίς συνετρίβη; ἡ δὲ (= ἐκείνη δέ, ἡ ἀλώπηξ) συνετρίβη.

Μυθ. 10. Τίνες νοσοῦσι, ὄρνιθες νοσοῦσι· τίς παρεγένετο; αἴλουρος παρεγένετο· τίς ἐπυνθάνετο; αἴλουρος ἐπυνθάνετο· τίνες ἔχοιεν; αἱ ὄρνιθες ἔχοιεν.

α' **παρατήρησις.** Ἐκ τῶν δύο λέξεων τῆς ἀπαντήσεως *ἱπποκόμος ἔτριβε, κύων ἐκράτησε κτλ. κτλ.* ἡ πρώτη ὀνομάζεται *ὑποκείμενον* (συνηθέστατα πτῶσεως ὀνομαστικῆς)· ἡ δὲ δευτέρα *ῥῆμα* ἢ *κατηγόρημα*. Ἀντὶ ὀνόματος δύναται καὶ ἀντωνυμία (οὗτος, αὕτη, τοῦτο, ἐκεῖνος, ὁ μέν, ὁ δὲ καὶ πλ.) νὰ χρησιμεύσῃ ὡς ὑποκείμενον.

11. Λύκος καὶ αἴξ.

(Halm. 270).

Ἡ ἔννοια ἡ αὐτὴ καὶ τοῦ προηγουμένου μύθου.

Λύκος θεασάμενος αἶγα ἐπί τινος κρημνοῦ νεμομένην, ἐπειδὴ οὐκ ἠδύνατο αὐτῆς ἐφικέσθαι, παρῄνει αὐτῇ κατωτέρω καταβῆναι, μὴ καὶ πέσῃ λαθοῦσα, λέγων ὡς καὶ λειμῶνές εἰσι παρ' αὐτῷ καὶ ἡ πόα φαιδροτέρα. Ἡ δὲ πρὸς αὐτὸν ἔφη «ἀλλ' οὐκ ἐμὲ ἐπὶ νομὴν καλεῖς, αὐτὸς δὲ τροφῆς ἀπορεῖ;».

12. Καρκίνος καὶ ἀλώπηξ.

(Halm. 186).

Ὁ καταλείπων τὸν ἁρμόδιον τῆς ζωῆς τρόπον καὶ ἄλλον ἀντ' αὐτοῦ ἀσπαζόμενος εἰκότως δυστυχεῖ.

Καρκίνος ἀπὸ τῆς θαλάσσης ἀναβάς, ἐπί τινος ἐνέμετο τόπου. Ἀλώπηξ δὲ λιμώττουσα, ὡς ἐθεάσατο, προσελθοῦσα ἀνέλαβεν αὐτόν. Ὁ δὲ μέλλων καταβιβρώσκεσθαι ἔφη «ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὃς θαλάττιος ὢν χερσαίοις ἠβουλήθην γενέσθαι».

13. Ὗς ἄγριος καὶ ἀλώπηξ.

(Halm. 407).

Πρέπει τις νὰ ἑτοιμάζηται πρὸ τοῦ κινδύνου.

Ὗς ἄγριος ἑστὼς παρά τι δένδρον τοὺς ὀδόντας ἠκόνα. Ἀλώπεκος δὲ αὐτὸν ἐρωτώσης τὴν αἰτίαν, διατί, μήτε κυνηγοῦ μήτε κινδύνου ἐνεστῶτος, τοὺς ὀδόντας θήγει, ἔφη «ἀλλ' οὐ ματαίως τοῦτο ποιῶ· ἐὰν γάρ με κίνδυνος καταλαβῇ, οὐ τότε περὶ τὸ ἀκονᾶν ἀσχολήσομαι, ἑτοίμοις δὲ οὖσι χρήσομαι».

Εὑρεθήτω τὸ ὑποκείμενον τῶν ῥημάτων ἐν τοῖς ἑξῆς μύθοις·

Μυθ. 11. Οὐκ ἠδύνατο· παρῄνει· πέσῃ· ἔφη

Μυθ. 12. ἐνέμετο· ἐθεάσατο· ἀνέλαβεν· ἔφη.

Μυθ. 13. ἠκόνα· θήγει· ἔφη· καταλάβῃ.

14. Καρκίνος καὶ μήτηρ.

(Halm. 187).

Εὐκόλως τις συμβουλεύει ὅ,τι αὐτὸς ἀδυνατεῖ νὰ πράξῃ.

Ἡ μήτηρ πρὸς τὸν καρκίνον «τί δὴ λοξήν, ὦ παῖ, βαδίζεις ὁδόν, ὀρθὴν ἰέναι προσῆκον;» ὁ δὲ πρὸς αὐτήν· «ἄγου τῆς ὁδοῦ, ὦ μῆτερ, καὶ πρὸς αὐτὴν βαδίζειν πειράσομαι.» Τῆς δὲ βαδίζειν ἀπορούσης ὀρθῶς, κατήγορος ὁ παῖς τῆς παρανοίας ἐγένετο.

15. Κιθαρῳδός.

(Halm 193).

Πολλοὶ καθ' ἑαυτοὺς νομίζοντες ὅτι εἶναί τι ἀνακαλύπτονται δημοσίᾳ ἀνίκανοι.

Κιθαρῳδὸς ἄμουσος ἐν κεκονιαμένῳ οἴκῳ συνεχῶς ᾖδων, ἀντῆχούσης δὲ αὐτῷ τῆς φωνῆς, ὥστε αὐτὸν νομίσαι εὔφωνον εἶναι σφόδρα, ἐπαρθεὶς ἔγνω δεῖν καὶ εἰς θέατρον εἰσελθεῖν· ἀφικόμενος δὲ ἐπὶ σκηνὴν καὶ πάνυ κακῶς ᾖδων λίθοις βαλλόμενος ἐξηλάθη.

16. Ὄνος λεοντῆν φέρων.

(Halm 336).

Ἡ γλῶσσα μαρτυρεῖ τὸν ἔσω ἄνθρωπον.

Ὄνος ἐνδυσάμενος λέοντος δέρμα περιῄει ἐκφοβῶν τὰ ἄλογα ζῷα. Καὶ δὴ θεασάμενος ἀλώπεκα ἐπειρᾶτο καὶ ταύτην δεδίττεσθαι. Ἡ δέ, ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκουῖα, ἔφη πρὸς αὐτόν· «ἀλλ' εὖ ἴσθι, ὡς καὶ ἐγὼ ἂν σε ἐφοβήθην, εἰμὴ ὀγκωμένου ἤκουσα».

Μυθ. 14. ἐγένετο

Μυθ. 15. ἔγνω, ἐξηλάθη.

β' παρατήρησις. Δυνάμεθα νὰ κάμωμεν καὶ τἀνάπαλιν, ἔχοντες δηλ. τὸ ὑποκείμενον νὰ ζητήσωμεν τὸ ῥῆμα, πάλιν ἐρωτῶντες ὡς ἐξῆς.

Μυθ. 16. Ὄνος τί ἐποίει; ὄνος περιῄει, ἐπειρᾶτο· ἡ δὲ (δηλ. ἡ ἀλώπηξ) τί ἐποίησεν; ἡ ἀλώπηξ ἔφη.

17. Αἴξ καὶ αἰπόλος.

(Halm. 17).

Οἱ μωροὶ πολλάκις σπεύδουσι νὰ κρύψωσι τὰ πασιφανῆ.

Αἶγα ἀποστάσαν ἀγέλης ἐπανάγειν αἰπόλος ἐπειράτο πρὸς τὰς λοιπάς. Ὡς δὲ φωναῖς καὶ συριγμοῖς χρώμενος οὐδὲν μᾶλλον ἤνυε, λίθον ἀφεὶς καὶ τοῦ κέρως τυχών, ἐβεῖτο τῷ δεσπότῃ μὴ κατειπεῖν. Ἡ δέ, «ἀνούστατε», εἶπεν, «αἰπόλων, τὸ κέρας κεκράξεται, κἂν ἐγὼ σιωπήσω».

18. Ἁλιεῖς.

(Halm. 24).

Ἐνίοτε ἡ τύχη χορηγεῖ ὅσα ἡ τέχνη καὶ ἱκανότης δὲν κατορθώνει.

Ἁλιεῖς ἐξελθόντες ἐπ' ἄγραν, ἐπειδὴ πολὺν χρόνον ταλαιπωρήσαντες οὐδὲν εἷλον, σφόδρα τε ἠθύμουν καὶ ἀναχωρῆσαι παρεσκευάζοντο. Εὐθὺς δὲ θύννος, ὑπό του τῶν μεγίστων διωκόμενος ἰχθύων, εἰς τὸ πλοῖον αὐτῶν εἰσήλατο. Οἱ δὲ τοῦτον λαβόντες μεθ' ἡδονῆς ἀνεχώρησαν.

Μυθ. 17. Αἰπόλος τί ἐποίει; *αἰπόλος ἐπειρᾶτο, ἤνυεν, ἐβεῖτο· ἡ δὲ* (=ἐκείνη δέ, ἡ αἶξ) τί ἐποίησε; *ἡ δὲ εἶπε· τὸ κέρας* τί ποιήσει; *τὸ κέρας κεκράξεται.*

Κατὰ τὰ εἰρημένα, ἂς προστεθῇ ἡ τὸ ὑποκείμενον εἰς τὸ ῥῆμα, ἢ τἀνάπαλιν τὸ ῥῆμα εἰς τὸ ὑποκείμενον ἐν τοῖς ἑξῆς.

Μυθ. 18. ἁλιεῖς· θύννος· εἷλον· ἠθύμουν, παρεσκευάζοντο· εἰσήλατο· ἀνεχώρησαν.

19. Ἁλιεὺς καὶ μαινίς.

(Halm. 28).

Τὸ παρὸν κέρδος, ὅσον μικρὸν καὶ ἂν ᾖ, προτιμότερον ἄλλου μείζονος, ἀλλὰ προσδοκωμένου.

Ἁλιεὺς καθεὶς τὸ δίκτυον ἀνήνεγκε μαινίδα. Τῆς δὲ ἱκετευούσης αὐτὸν πρὸς τὸ παρὸν μεθεῖναι αὐτήν, ἐπειδὴ μικρὰ τυγχάνει, ὕστερον δὲ αὐξυνθεῖσαν συλλαβεῖν εἰς μείζονα ὠφέλειαν, ὁ ἁλιεὺς εἶπεν· «ἀλλ' ἔγωγε εὐηθέστατος ἂν εἴην, εἰ τὸ παρὸν κέρδος ἀφεὶς ἄδηλον ἐλπίδα διώκοιμι.»

20. Γεωργὸς καὶ ὄφις.

(Halm. 97).

Ἡ πονηρὰ φύσις δὲν μεταβάλλεται.

Γέρων τις γεωργὸς χειμῶνος ὥρᾳ ὄφιν εὑρὼν ὑπὸ κρύους πεπηγότα, τοῦτον ἐλεήσας καὶ λαβὼν ὑπὸ κόλπον ἔθετο. Θερμανθεὶς δὲ ἐκεῖνος καὶ ἀναλαβὼν τὴν ἰδίαν φύσιν ἔπληξε τὸν εὐεργέτην καὶ ἀπέκτεινε. Θνήσκων δὲ ἔλεγε· «δίκαια πάσχω τὸν πονηρὸν οἰκτείρας.»

Μυθ. 19. ἁλιεύς· ἀνήνεγκεν· εἶπε· τυγχάνει.

Μυθ. 20. γέρων· ἐκεῖνος (δηλ. ὁ ὄφις)· *ἔθετο· ἔπληξεν· ἀπέκτεινε· ἔλεγεν.*

γ' παρατήρησις. Λῆλον ὅτι ῥῆμα α' ἐνικοῦ προσώπου ἀνήκει εἰς τὸ ὑποκείμενον *ἐγώ*, οἷον· *ἔχω* (ἐννοεῖται *ἐγώ*), α' δὲ πληθυντικοῦ εἰς τὸ ὑποκείμενον *ἡμεῖς*, οἷον· *ἔχομεν* (ἐνν. *ἡμεῖς*). Καὶ πάλιν ῥῆμα β' ἐνικοῦ προσώπου ἀνήκει εἰς τὸ ὑποκείμενον *σύ*, οἷον· *ἔχεις* (ἐννοεῖται *σύ*), β' δὲ πληθυντικοῦ εἰς τὸ ὑποκείμενον *ὑμεῖς*, οἷον· *ἔχετε* (ἐνν. *ὑμεῖς*). Ἐν τοῖς προηγηθεῖσι μύθοις εὕρομεν πολλὰ τοιαῦτα ῥήματα οἷον· *ἐγὼ ὑπόρχω* (μυθ. 7), *ἐγὼ ἐφοβήθην* (μυθ. 16), *ἐγὼ σιωπήσω*

21. Πεύκη.

(Halm. 123).

Βαρύτερόν τις ὑποφέρει τὰ παρὰ τῶν οἰκείων κακά.

Πρίσται ποτὲ κατέσχιζον πεύκην, σφῆνας ἐξ αὐτῆς ποιοῦντες, οἷς καὶ ῥᾳδίως κατέσχιζον σανίδας. Ἡ δὲ ἐθρήνει ὀλολύζουσα οὕτω· «οὐ τοσοῦτον νῦν μέμφομαι τὴν ἀξίνην, τὴν κόπτουσάν με ταῖς χερσὶ τῶν ἀνθρώπων, ὡς τοὺς ἐξ ἐμοῦ σφῆνας γεγενημένους.

ζμυθ. 17), ἔγωγε πέπυσμαι (μυθ. 12)· (ἐγὼ) *πεποίκιλμαι* (μυθ. 7)· (ἐγὼ) *ποιῶ*, (ἐγὼ) *ἀσχολήσομαι*, (ἐγὼ) *χρήσομαι* (μυθ. 13). *Αὐτός* (δηλ. σὺ αὐτὸς) *ἀπορεῖς* (μυθ. 11)· (σὺ) *μὴ πάλει* (μυθ. 1)· (σὺ) *σαίνεις* (μυθ. 2)· (σὺ) *κατάσχῃς, κερδανεῖς* (μυθ. 3). Τὰ ὑποκείμενα *ἐγώ, ἡμεῖς, σύ, ὑμεῖς ἄλλοτε μὲν τίθενται, ἄλλοτε δὲ παραλείπονται, ὅπως τοῦτο γίνεται καὶ ἐν τῇ λαλουμένῃ γλώσσῃ, οἷον· ἐγὼ θέλω, θέλω· ἐγὼ μελετῶ, σὺ παίζεις· τί θέλεις; τί θέλετε; θέλομεν· ἡμεῖς θέλομεν· θέλετε· ὑμεῖς θέλετε.*

β΄ ἄσκησις. Πλὴν τοῦ ὑποκειμένου καὶ τοῦ ῥήματος (α΄ ὅσκ. α΄ παρατήρησις), τάττομεν ὁμοῦ (συντάττομεν) πολλάκις καὶ τρίτην λέξιν (συνήθως ἐπίθετον), ἥτις φανερώνει τὴν ἰδιότητα τοῦ ὑποκειμένου, τί δηλαδὴ εἶναι τὸ ὑποκείμενον ἢ τί γίνεται. Ἡ τρίτη αὕτη λέξις ὀνομάζεται *κατηγορούμενον*, τὸ δὲ ῥῆμα (συνήθως τὸ εἶναι, ὅπερ πολλάκις ἐλλεῖπον ἐννοεῖται εὐκόλως), χρησιμεύει ὡς σύνδεσμος τοῦ *ὑποκειμένου* καὶ τοῦ *κατηγορουμένου* καὶ ὀνομάζεται διὰ τοῦτο *συνδετικόν*. Οὕτως ἐν τῷ 1ῳ μύθῳ εὑρομεν τὰς τρεῖς ταύτας λέξεις, *ὑποκείμενον, συνδετικὸν κατηγορούμενον*, οἷον· *(οὐ) εἰ φίλος*· ἐν τῷ 7ῳ *ἐγὼ ὑπάρχω καλλίων*· ἐν τῷ 14ῳ *ὁ παῖς ἐγένετο κατήγορος*· ἐν τῷ 19ῳ *ἔγωγε εἶην (ἂν) εὐηθέστατος* κτλ. κτλ.

Μυθ. 21. *Τίνα τὰ ὑποκείμενα τῶν ῥημάτων κατέσχιζον, ἐθρήνει, μέμφομαι;*

22. Σπάλαξ καὶ μήτηρ.

(Halm. 71).

Οἱ ἀλαζόνες καὶ ἐν τοῖς μικροῖς πράγμασιν ἐξελέγχονται καυχώμενοι.

Σπάλαξ (ἔστι δὲ τοῦτο τὸ ζῷον τυφλὸν) λέγει τῇ μητρὶ αὐτοῦ, ὅτι βλέπω· κἀκείνη πειράζουσα αὐτόν, χόνδρον λιβανωτοῦ δοῦσα αὐτῷ ἐπηρώτα, τί τοῦτο εἴη· τοῦ δὲ εἰπόντος ψηφίδα, ἡ μήτηρ εἶπεν· «ὦ τέκνον, οὐ μόνον τοῦ βλέπειν ἐστέρησαι, ἀλλὰ καὶ τὰς ὀσφρήσεις ἀπώλεσας.»

23. Ἄνθρωπος καὶ ἀλώπηξ.

(Halm. 61).

Ὁ ὑπέρμετρον ἔχων ὀργὴν γίνεται πολλάκις αἴτιος τῆς ἑαυτοῦ βλάβης.

Ἀλώπεκά τις ἐχθρὰν ἔχων, ὡς βλάπτουσαν αὐτὸν κρατήσας, καὶ θελων ἐπὶ πολὺ τιμωρήσασθαι, στυππεῖα ἐλαίῳ βεβρεγμένα τῇ οὐρᾷ προσδήσας ὑρῆψε. Ταύτην δὲ δαίμων εἰς τὰς ἀρούρας τοῦ λαβόντος ὡδήγει· ἦν δὲ καιρὸς ἀμητοῦ. Ὁ δὲ ἠκολούθει θρηνῶν, μηδὲν θερίσας.

Μυθ. 22. *Ἰδὲ ἂν ὑπάρχωσιν οἱ τρεῖς ἀνωτέρω σημειωθέντες ὅροι, ὑποκείμενον, συνδετικὸν καὶ κατηγορούμενον. Τίνα τὰ ὑποκείμενα τῶν ῥημάτων λέγει, βλέπω ἐπηρώτα, εἶπον ἐστέρησαι, ἀπώλεσας;*

Μυθ. 23. *Τίνα τὰ ῥήματα (κατηγορήματα) τῶν ὑποκειμένων τὶς (=ἔνας)· δαίμων· καιρός· ὁ δέ;*

Αἱ αὐταὶ ἐρωτήσεις ἂς ἐπαναληφθῶσι καὶ ἐπὶ τῶν ὑποκειμένων ἢ ῥημάτων τῶν μύθων 24ου καὶ 25ου.

γ΄ ἄσκησις. *Ὑποκείμενον καὶ ῥῆμα* (ἱπποκόμος ἐκτένιζεν)· *ἢ ὑποκείμενον, συνδετικὸν καὶ κατηγορούμενον* ἰσὺ εἶ φίλος, ἐγὼ ὑπάρχω καλλίων, ἔγωγε εἶην ἂν εὐηθέστατος) ἀποτελοῦσι τὴν καλουμένην *πρότασιν*, τὴν ὁποίαν λαμβάνομεν ὡς βάσιν καὶ ἀρχὴν εἰς τὴν περαιτέρω σύνταξιν. Ἡ πρότασις, καθ' ἃ βλέπομεν, συνίσταται ἢ ἐκ

24. Ἔχις καὶ ῥίνη

(Halm. 146).

Ἀνόητος εἶναι ὁ ἐλπίζων κέρδος παρὰ τοῦ φιλαργύρου.

Ἔχις εἰσελθὼν εἰς χαλκουργοῦ ἐργαστήριον παρὰ τῶν σκευῶν ἔρανον ᾔτει· λαβὼν δὲ παρ' αὐτῶν ἦκε πρὸς τὴν ῥίνην, καὶ ταύτην παρεκάλει δοῦναί τι αὐτῷ. Ἡ δὲ ὑποτυχοῦσα εἶπεν· «ἀλλ' εὐήθης εἶ παρ' ἐμοῦ ἀποίσεσθαί τι οἰόμενος, ἥτις οὐ διδόναι, ἀλλὰ λαμβάνειν παρὰ πάντων εἴωθα».

25. Γέρων καὶ θάνατος.

(Halm. 90).

Ὁ ἄνθρωπος καὶ δυστυχῶν δὲν θέλει ν' ἀποθάνῃ.

Γέρων ποτὲ ξύλα κόψας καὶ ταῦτα φέρων πολλὴν ὁδὸν ἐβάδιζε. Διὰ δὲ τὸν κόπον τῆς ὁδοῦ ἀποθέμενος τὸ φορτίον, τὸν θάνατον ἐπεκαλεῖτο. Τοῦ δὲ θανάτου φανέντος καὶ πυθομένου, δι' ἣν αἰτίαν αὐτὸν παρακαλεῖται, ὁ γέρων ἔφη· «ἵνα τὸ φορτίον ἄρῃς».

δύο λέξεων (*ἱπποκόμος ἐκτένιζεν*) ἢ ἐκ τριῶν (*ἐγὼ ὑπάρχω καλλίων*). Ὀφείλομεν ὅμως νὰ διακρίνωμεν δύο εἰδῶν ῥήματα, ἢ δύο εἰδῶν συνδετικά. α') ἀνεξάρτητα ἢ *κύρια* καὶ β') ἐξηρτημένα ἢ *δευτερεύοντα* καὶ ἑπομένως νὰ θεωρῶμεν δύο εἰδῶν προτάσεις, α') ἀνεξαρτήτους ἢ *κυρίας* καὶ β') ἐξηρτημένας ἢ *δευτερευούσας*. Αἱ *δευτερεύουσαι προτάσεις*, ὡς ἐξαρτώμεναι, ἔχουσι πάντοτε ἐν τῇ ἀρχῇ ἢ συνδέσμους, οἷον· 1) *χρονικούς* ὅτε, ὁπότε, ἐπεί, ἐπειδή, ἡνίκα, ἕως, ὡς, ἄχρι, μέχρι, ἕστε, πρίν ἢ μόνους τούτους ἢ μετὰ τοῦ ἄν, οἷον ὅταν, ὁπόταν, ἐπάν, ἐπειδάν κτλ. ἔτι τὰς ἐμπροσθέτους ἀναφορικὰς ἀντωνυμίας, αἵτινες σημαίνουσι χρόνον, οἷον ἀφ' οὗ, ἐξ ὅτου, μέχρι οὗ, μέχρι ὅτου, ἕως οὗ, ἐν ᾧ, ἐς ὅ) 2) *αἰτιολογικούς* (ἐπεί, ἐπειδή, ὅτι, διότι, ὡς), 3) *εἰδικούς* (ὅτι, ὡς), 4) *τελικούς* (ἵνα, ὅπως, ὡς), 5) *ὑποθετικούς* (εἰ, ἄν, ἐάν, ἤν),

26. Βάτραχοι.

(Halm. 74).

Εἰς πᾶσαν πρᾶξιν ὀφείλει τις νὰ προβαίνῃ μετὰ περισκέψεως.

Βάτραχοι δύο ἐν λίμνῃ ἐνέμοντο· θέρους δὲ ξηρανθείσης τῆς λίμνης, ἐκείνην καταλιπόντες ἐπεζήτουν ἑτέραν. Καὶ δὴ βαθεῖ περιέτυχον φρέατι, ὅπερ ἰδὼν ἕτερος θατέρῳ φησί· «συγκατέλθωμεν, ὦ οὗτος, εἰς τόδε τὸ φρέαρ·» ὁ δὲ ὑπολαβὼν εἶπεν· «ἂν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα;»

6) *ἐναντιωματικούς* (*εἰ καί, ἐὰν καὶ — καὶ εἰ, καὶ ἐάν*), 7) *ἀναφορικὰς* ἀντωνυμίας, ἢ ἀναφορικὰ ἐπιρρήματα οἷον· *ὅς, ὅστις, ὅσος, ἡλίκος, οἷος, ὅπου, ὅθεν* κτλ. κτλ. 8) ἐρωτηματικὰς ἢ καὶ ἐρωτηματικοαναφορικὰς ἀντωνυμίας καὶ ἐπιρρήματα. (*τίς, ὁστις, πόσος, ὁπόσος, ποῖος, ὁποῖος, ποῦ, ὅπου, πῇ, ὅπως* κτλ. κτλ. τῶν ὁποίων προηγεῖται πάντοτε τὸ ῥῆμα *ἐρωτῶ, ἀπορῶ, σκοποῦμαι, ἐξετάζω* καὶ πάντα ὅσα συνώνυμα, οἷον· *ἐπηρώτα, τί τοῦτο εἴη* (μυθ. 22)· 9) καὶ τὸ συμπερασματικὸν *ὥστε*.

Παρατήρησις. Κατὰ τὰ ἀνωτέρω, αἱ δευτερεύουσαι προτάσεις εἶναι 1) *χρονικαί*, 2) *αἰτιολογικαί*, 3) *εἰδικαί*, 4) *τελικαί*, 5) *ὑποθετικαί*, 6) *ἐναντιωματικαί*, 7) *ἀναφορικαί*, 8) *πλάγιαι* (δηλ. ἐξηρτημέναι) *ἐρωτηματικαί*, 9) *συμπερασματικαί*.

Σημ. Τὴν σύνταξιν πάντοτε ἀρχίζομεν ἀπὸ τῆς *κυρίας προτάσεως*.

Συμφώνως τῇ γ' ἀσκήσει ἂς ὀνομασθῶσιν αἱ ἑξῆς ἀναγραφόμεναι δευτερεύουσαι προτάσεις, ἐν ἐπαναλήψει πάντοτε καὶ τῶν προηγηθεισῶν ἀσκήσεων.

Μυθ. 26. Αἱ προτάσεις α') *βάτραχοι ἐνέμοντο*· β') *ἐπεζήτουν*· γ') *περιέτυχον*· δ') *ὅπερ ἰδὼν ἕτερος φησίν*· ε') *ὁ δὲ εἶπεν*· στ') *ἂν τὸ ὕδωρ ξηρανθῇ*· ζ') *πῶς ἀναβησόμεθα, ποίου εἴδους προτάσεις εἶναι; ποῖον τὸ ὑποκείμενον τῆς β' γ' καὶ τελευταίας;*

27. Κοιλία καὶ πόδες.

(Halm. 197).

Πᾶς ὀφείλει νὰ ὁμολογῇ παρά τίνος ἔλαβεν ὅτι καλὸν ἔχει.

Κοιλία καὶ πόδες περὶ δυναμεως ἤριζον. Παρ' ἕκαστα δὲ τῶν ποδῶν λεγόντων, ὅτι προέχουσι τῇ ἰσχύϊ τοσοῦτον, ὥστε καὶ αὐτὴν τὴν γαστέρα βαστάζειν, ἐκείνη ἀπεκρίνατο· «ὦ οὗτοι, ἐὰν μὴ ἐγὼ τροφὴν προσλάβωμαι, οὐδ' ὑμεῖς βαστάζειν δυνήσεσθε».

28. Κόραξ καὶ ἀλώπηξ.

(Halm. 207).

Πολλοὶ θησαυρὸν εὑρίσκοντες κινδυνεύουσι τὴν ζωήν.

Κόραξ τροφῆς ἀπορῶν, ὡς ἐθεάσατο ὄρνιν ἔν τινι εὐηλίῳ τόπῳ κοιμώμενον, τοῦτον καταπτὰς ἥρπασε. Τοῦ δὲ ἐπιστραφέντος καὶ δακόντος αὐτόν, ἀποθνήσκειν μελλων ἔφη· «ἀλλ' ἔγωγε δείλαιος, ὅτι τοιοῦτον ἕρμαιον εὗρον, ἐξ οὗ καὶ ἀπόλλυμαι.»

Μυθ. 27. Ἐκ τῶν προτάσεων *κοιλίαι καὶ πόδες ἤριζον*, ὅτι (*οἱ πόδες*) *προέχουσιν*, *ἐκείνη ἀπεκρίνατο*, *ἐὰν* (*ἐγὼ*) *μὴ προσλάβωμαι*, *ὑμεῖς οὐ δυνήσεσθε*, τίνες κύριαι καὶ τίνες δευτερεύουσαι καὶ ποίου εἴδους δευτερεύουσαι;

Μυθ. 28. Τίνα τὰ ὑποκείμενα τῶν ῥημάτων *ἐθεάσατο*, *ἥρπασεν*, *ἔφη*, *εὗρον*, *ἀπόλλυμαι*; τίνες κύριαι καὶ τίνες δευτερεύουσαι προτάσεις; Ὑπάρχει πρότασις ἔχουσα κατηγορούμενον κατὰ τὴν β' ἄσκησιν; ποῖον τὸ συνδετικόν;

29. Αἰθίοψ.

(Halm. 13).

Ἡ ἀρχικὴ φύσις δὲν μεταβάλλεται.

Αἰθιόπά τις ὠνήσατο, τοιοῦτον εἶναι τὸ χρῶμα δοκῶν ἀμελείᾳ τοῦ πρότερον ἔχοντος. Καὶ παραλαβὼν οἴκαδε, πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύμματα, πᾶσι δὲ λουτροῖς ἐπειράτο φαιδρύνειν· καὶ τὸ μὲν χρῶμα μεταβαλεῖν οὐκ ἔσχε, νοσεῖν δὲ τῷ πονεῖν παρεσκεύασε.

30. Πῆραι δύο.

(Halm. 359).

Πᾶς ἄνθρωπος βλέπει τὰ ξένα ἐλαττώματα, οὐχὶ δὲ καὶ τὰ ἴδια.

Ἄνθρώπων ἕκαστος δύο πήρας φέρει, τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν, γέμει δὲ κακῶν ἑκατέρα, ἀλλ' ἡ μὲν ἔμπροσθεν ἀλλοτρίων, ἡ δὲ ὄπισθεν τῶν αὐτοῦ τοῦ φέροντος. Καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὰ μὲν ἐξ αὐτῶν κακὰ οὐχ ὁρῶσι, τὰ δὲ ἀλλότρια πάνυ ἀκριβῶς θεῶνται.

31. Ἀλώπηξ καὶ τράγος.

(Halm. 45).

Πρέπει νὰ σκεπτώμεθα προηγουμένως τὸ τέλος πάσης ἡμῶν πράξεως.

Τράγος, ἐν θέρει σφοδρῶς διψήτας, κατῆλθεν εἰς βαθύκρημνον ὕδωρ πιεῖν. Πιὼν δὲ καὶ χορτασθεὶς οὐκ ἠδύνατο ἀνελθεῖν καὶ μετενόει καὶ βοηθὸν ἐζήτει. Ἀλώπηξ δὲ τοῦτον ἰδοῦσα ἔφη· «ὦ ἀνόητε, εἰ τόσας φρένας εἶχες, ὅσας ἐν τῷ πώγωνι τρίχας, πρότερον οὐκ ἂν κατέβης, ἢ μὴ τὴν ἄνοδον ἐσκέψω».

Μυθ. 29 καὶ *30*. Τίνα τὰ ὑποκείμενα πάντων τῶν ῥημάτων; ποῖον ῥῆμα ἡ ποία πρότασις εἶναι ἀνεξάρτητος ἢ κυρία, καὶ ποία δευτερεύουσα ἢ ἐξηρτημένη;

Μυθ. 31. Εὑρεῖν πάντα τὰ ὑποκείμενα.

ΣΙΣΜΑΝΟΓΛΙΟ

32. Ἔλαφος καὶ μήτηρ.

(Halm. 139).

Εὔκολος τις συμβουλεύει ὅ,τι ὁ ἴδιος δὲν δύναται νὰ κάμῃ.

Ἔλαφον ἡ μήτηρ ἐνουθέτει, ταῦτα λέγουσα· «κέρας, ὦ παῖ, παρὰ τῆς φύσεως εἴληφας, μεγεθει δὲ διενήνοχας σώματος, καὶ οὐκ οἶδ' ὅ,τι παθὼν ἀποδιδράσκεις ἐπιόντας τοὺς κύνας». Ταῦτα ἦν, καὶ κυνῶν δρόμος ἠκούετο πόρρωθεν. Ἡ δὲ μένειν τῷ παιδὶ παραινέσασα αὐτὴ τῆς φυγῆς προκατήρξατο.

33. Κύων κρέας φέρουσα.

(Halm. 233).

Ὁ πλεονέκτης χάνει καὶ ὅ,τι ἔχει.

Κύων κρέας ἔχουσα ποταμὸν διέβαινε· θεασαμένη δὲ τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος, ὑπέλαβεν ἑτέραν κύνα εἶναι, μεῖζον κρέας ἔχουσαν· διόπερ ἀφεῖσα τὸ ἴδιον, ὥρμητεν ὡς τὸ ἐκείνης ἁφαιρησομένη. Συνέβη δὲ αὐτῇ ἀμφοτέρων στερηθῆναι· τοῦ μὲν μὴ ἐφικομένη, διότι μηδὲ ἦν, τοῦ δέ, ὅτι ὑπὸ τοῦ ποταμοῦ παρεσύρη.

34. Βοηλάτης καὶ Ἡρακλῆς.

(Halm. 81).

Ἀργὸς μὴ παρακαλεῖ τὸν Θεὸν εἰς βοήθειαν.

Βοηλάτης ἐκ κώμης ἄμαξαν ἄγων, καὶ ταύτης ἐμπεσούσης εἰς φάραγγα κοιλώδη, δέον βοηθεῖν, ἀργὸς ἵστατο τῷ Ἡρακλεῖ

Μυθ. 32. Ἡ πρότασις ὅ,τι *ἀποδιδράσκεις* ποίου εἴδους εἶναι;
Μυθ. 33. Τὸ ὑποκείμενον τῶν ῥημάτων *συνέβη, παρεσύρη.*
Μυθ. 34. Τὰ ὑποκείμενα τῶν ῥημάτων *ἄπτου, νῦτε, εὔχου.* Ποίου εἴδους πρότασις εἶναι ἡ: *ὅταν καὶτὸς* (=καὶ σὺ αὐτὸς) *ποιῇς*;

προσευχόμενος· ἐκεῖνον γὰρ ἐκ πάντων ἀσπαζόμενος ἐτίμα. Ὁ δὲ Θεὸς ἐπιστὰς εἶπε· «τῶν τροχῶν ἅπτου, καὶ τοὺς βόας νύττε, καὶ τότε τῷ Θεῷ εὔχου, ὅταν καὐτός τι ποιῇς· μὴ μέντοι γε μάτην εὔχου».

35. Ναυαγός.

(Halm. 300).

Ἡ αὐτὴ ἔννοια, ἥτις καὶ ἐν τῷ προηγουμένῳ μύθῳ.

Ἀνὴρ πλούσιος Ἀθηναῖος μεθ' ἑτέρων τινῶν ἔπλει. Καὶ δὴ χειμῶνος σφοδροῦ γενομένου, καὶ τῆς νεὼς περιτραπείσης, οἱ μὲν λοιποὶ πάντες διενήχοντο, ὁ δὲ Ἀθηναῖος παρ' ἕκαστα τὴν Ἀθηνᾶν ἐπικαλούμενος μυρία ἐπηγγέλλετο, ἐάν περιτωθῇ. Εἷς δέ τις τῶν συννεναυαγηκότων παραντιχόμενος ἔφη πρὸς αὐτόν· «σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει».

36. Κάλαμοι καὶ δρῦς.

(Halm. 179).

Ἡ ὑποχώρησις εἰς τοὺς ἰσχυροὺς εἶναι σωτήριος.

Δρῦν ἄνεμος ἐκριζώσας ἐν ποταμῷ ἔρριψεν. Ἡ δὲ φερομένη τοὺς καλάμους ἐρωτᾷ· «πῶς ὑμεῖς, ἀσθενεῖς ὄντες καὶ λεπτοί, ὑπὸ τῶν βιαίων ἀνέμων οὐκ ἐκριζοῦσθε; Οἱ δὲ εἶπον· αὐμεῖς τοῖς ἀνέμοις μάχεσθε καὶ ἀνθίστασθε, καὶ διὰ τοῦτο ἐκριζοῦσθε· ἡμεῖς δὲ παντὶ ἀνέμῳ ὑποπίπτοντες ἀβλαβεῖς διαμένομεν».

Μυθ. 35. Ποῖον τὸ ὑποκείμενον τῆς προτάσεως *ἐὰν περισωθῇ* καὶ τὸ εἶδος αὐτῆς;

ΕΛΛΗΝΟΓΛΩΣΣΟΝ

37. Κάμηλος.

(Halm. 180).

Ἡ συνήθεια μηδενίζει καὶ τῶν φοβερῶν πραγμάτων τὴν δύναμιν.

Ὅτε πρῶτον κάμηλος ὤφθη, οἱ ἄνθρωποι φοβηθέντες καὶ τὸ μέγεθος καταπλαγέντες ἔφευγον. Ὡς δὲ χρόνου προϊόντος συνεῖδον αὐτῆς τὸ πρᾶον, ἐθάρρησαν μέχρι τοῦ προσελθεῖν. Αἰσθόμενοι δὲ κατὰ μικρὸν τὸ ζῷον ὡς χολὴν οὐκ ἔχει, εἰς τοσοῦτον καταφρονήσεως ἦλθον, ὥστε καὶ χαλινοὺς αὐτῇ περιθέντες παισὶν ἐλαύνειν δεδώκασιν.

38. Λύκος καὶ πρόβατον.

(Halm. 284).

Φεῦγε τοὺς κακούργους ὑποκρινομένους.

Λύκος ὑπὸ κυνῶν δηχθεὶς καὶ κακῶς πάσχων ἐβόσκητο. Τροφῆς δὲ ἀπορῶν, θεασάμενος πρόβατον, ἐβεῖτο ποτὸν ἐκ τοῦ παραρρέοντος αὐτῷ ποταμοῦ κομίσαι· «εἰ γάρ, σύ μοι», φησί, «δώσεις ποτόν, ἐγὼ τροφὴν ἑμαυτῷ εὑρήσω». Τὸ δὲ ὑποτυχὸν ἔφη· «ἀλλ' ἐὰν ἐγώ ποτόν ἐπιδῶ σοι, σὺ καὶ τροφῇ μοι χρήσῃ.

39. Κλέπται καὶ ἀλεκτρυών.

(Halm. 195).

Ὅτι τοὺς χρηστοὺς εὐεργετεῖ, τοῦτο πολλάκις εἰς τοὺς πονηροὺς εἶναι ἐναντίον.

Κλέπται εἰς τινα εἰσελθόντες οἰκίαν, οὐδὲν εὗρον, ὅ,τι μὴ ἀλεκτρυόνα, καὶ τοῦτον λαβόντες ἀπῆσαν. Ὁ δὲ μέλλων ὑπ' αὐτῶν θύεσθαι, ἐδεῖτο, ὡς ἂν αὐτὸν ἀπολύσωσι, λέγων χρήσιμος εἶναι τοῖς ἀνθρώποις, νυκτὸς αὐτοὺς ἐπὶ τὰ ἔργα ἐγείρων. Οἱ δὲ ἔφασαν· «ἀλλὰ διὰ τοῦτό σε μᾶλλον θύομεν· ἐκείνους γὰρ ἐγείρων, κλέπτειν ἡμᾶς οὐκ ἐᾷς.

Μυθ. 37. Αἱ προτάσεις ὅτε ὤφθη, ὡς συνεῖδον, ὡς οὐκ ἔχει, ὥστε δεδώκασι, πῶς ὀνομάζονται καὶ ποῖον τὸ ὑποκείμενον αὐτῶν;

Μυθ. 39. Ἡ πρότασις ὡς ἀπολύσωσι πῶς ὀνομάζεται καὶ ποῖον ἔχει ὑποκείμενον;

40. Γεωργὸς καὶ παῖδες αὐτοῦ.

(Halm. 98 6).

Ἡ ἐργασία εἶναι πλοῦτος.

Ἀνὴρ γεωργὸς μέλλων τελευτᾶν καὶ βουλόμενος τοὺς αὑτοῦ παῖδας ἐμπείρους ποιῆσαι τῆς γεωργίας, μετακαλεσάμενος αὐτοὺς ἔφη· «τέκνα μου, ἐν ἐνὶ μου τῶν ἀμπελώνων θησαυρὸς ἀπόκειται». Οἱ δὲ μετὰ τὴν αὐτοῦ τελευτὴν ὑνάς τε καὶ δικέλλας λαβόντες πᾶσαν αὐτῶν τὴν γεωργίαν ὤρυξαν, καὶ τὸν μὲν θησαυρὸν οὐχ εὗρον, ἡ δ' ἄμπελος πολλαπλασίονα τὴν φορὰν αὐτοῖς ἀντεδίδου.

41. Γεωργὸς καὶ πελαργός.

(Halm. 100).

Φεῦγε τὴν μετὰ τῶν κακῶν συναναστροφήν, ἵνα μὴ πάθῃς.

Ἐν ἀρούρᾳ τινὶ γεωργὸς ἔτηκε. Θηρεύσας δὲ γεράνους, τοὺς τὸν σπόρον φθείροντας, σὺν αὐτοῖς καὶ πελαργὸν εἵλήφει. Ὁ δὲ χωλεύων ἐκέτευεν ἀφεθῆναι λέγων· «οὐ γάρ εἰμι γέρανος· πελαργός εἰμι, εὐσεβέστατον ζῷον, ὃς τιμῶ τὸν πατέρα καὶ δουλεύω· ἴδε καὶ τὴν χροιὰν ὡς οὐχ ὁμοία». Ὁ δὲ ἔφη· «οὐκ οἶδα τί λέγεις· ἐγὼ σὺν οἷς εἵληφα σε, μετ' αὐτῶν καὶ ἀπολέσω».

Μυθ. 41. Πῶς ὀνομάζονται αἱ προτάσεις ὃς τιμῶ καὶ δουλεύω. Συμπλήρωσον εἴ τι ἐλλείπει ἐν τῇ φράσει ὡς οὐχ ὁμοία καὶ τί εἶναι τὸ ὁμοία;

Ποίου εἴδους εἶναι αἱ προτάσεις τί λέγεις, σὺν οἷς εἵληφα;

42. Δράκων καὶ ἀετός.

(Halm. 120).

Ὁ εὐεργέτης ἀνταμείβεται.

Δράκων καὶ ἀετὸς συμπλακέντες ἀλλήλοις ἐμάχοντο· καὶ ὁ μὲν δράκων εἶχε τὸν ἀετὸν συλλαβών, γεωργὸς δὲ ἰδών, λύσας τὴν πλοκὴν τοῦ δράκοντος, αὐτόνομον ἀφῆκε τὸν ἀετόν. Χαλεπήνας δ' ἐπὶ τούτοις ὁ δράκων, ἰὸν ἀφῆκε τῷ τοῦ σώσαντος πόματι. Πιεῖν δὲ τοῦ γεωργοῦ πρὸς ἄγνοιαν μέλλοντος, ὁ ἀετὸς καταπτὰς τῶν τοῦ γεωργοῦ χειρῶν ἐξαιρεῖται τὴν κύλικα.

43. Ἔλαφος καὶ ἄμπελος.

(Halm. 127).

Ὁ ἀγνώμων πρὸς τὸν ἑαυτοῦ εὐεργέτην τιμωρεῖται.

Ἔλαφος κυνηγοὺς φεύγουσα ὑπ' ἀμπέλῳ ἐκρύβη. Παρελθόντων δ' ὀλίγον ἐκείνων, ἡ ἔλαφος τελέως ἤδη λαθεῖν δόξασα, τῶν τῆς ἀμπέλου φύλλων ἐσθίειν ἤρξατο. Τούτων δὲ σειομένων, οἱ κυνηγοὶ ἐπιστραφέντες, καί, ὅπερ ἦν ἀληθές, νομίσαντες τῶν ζώων ὑπὸ τοῖς φύλλοις τι κρύπτεσθαι, βέλεσιν ἀνεῖλον τὴν ἔλαφον. Ἡ δὲ θνήσκουσα τοιαῦτα ἔλεγε· «δίκαια πέπονθα· οὐ γὰρ ἔδει τὴν σώσασάν με λυμαίνεσθαι».

44. Λέων καὶ ἄρκτος.

(Halm 247).

Πολλοὶ κοπιῶσιν ὑπὲρ τῶν ἄλλων.

Λέων καὶ ἄρκτος βρῶμά τι εὑρόντες ἐν ἔλει περὶ τούτου

Μυθ. 43. Ποίου εἴδους εἶναι ἡ πρότασις *ὅπερ ἦν ἀληθές*; τί εἶναι τὸ *ὅπερ*; τί τὸ *ἦν*; τί τὸ *ἀληθές*;

ἐμάχοντο. Δεινῶς οὖν ὑπ' ἀλλήλων κατακοπέντες ἐσκοτίσθησαν ἐκ τῆς πολλῆς μάχης, καὶ ἔκειντο ἠμιθανεῖς. Ἀλώπηξ δὲ περιϊοῦσα καὶ θεασαμένη πεπτωκότας, ἰδοῦσα καὶ τὸ βρῶμα κείμενον ἐν μέσῳ, ἅρπασα τοῦτο δρομαῖος ᾤχετο. Οἱ δὲ ἰδόντες αὐτὴν καὶ μὴ δυνάμενοι ἀναστῆναι εἶπον· «ἄθλιοι ὄντως ἡμεῖς, ὅτι δι' ἀλώπεκα ἐμαχόμεθα.

45. Λέων καὶ κάπρος.

(Halm. 253).

Φεῦγε τὰς ἔριδας, ἵνα μή τι κακὸν γίνηται.

Θέρους ἐν ὥρᾳ, ὅτε τὸ καῦμα δίψει λυπεῖ, εἰς μικρὰν πηγὴν λέων καὶ κάπρος ἦλθον πιεῖν. Πρίζον δέ, τίς πρῶτος αὐτῶν πίῃ· ἐκ τούτου δὲ πρὸς φόνον ἀλλήλων διηγέρθησαν. Ἅρνω δὲ ἐπιστραφέντες πρὸς τὸ ἀναπνεῦσαι, εἶδον γῦπας ἐκδεχομένους, ὃς αὐτῶν πέσῃ, τοῦτον καταφαγεῖν. Διὰ τοῦτο λύσαντες τὴν ἔχθραν εἶπον· «κρεῖσσόν ἐστιν ἡμᾶς φίλους γενέσθαι, ἢ βρῶμα γυψὶ καὶ κόραξιν».

46. Λέων καὶ λαγωός.

(Halm. 254).

Οἱ μὴ ἀρκούμενοι εἰς τὰ ὀλίγα χάνουσι καὶ ταῦτα.

Λέων ἐπιτυχὼν λαγῳῶ κοιμωμένῳ, τοῦτον ἔμελλε καταφαγεῖν· μεταξὺ δὲ θεασάμενος ἔλαφον παριοῦσαν, ἀφεὶς τὸν λαγωὸν ἐκείνην ἐδίωκεν. Ὁ μὲν οὖν ἀπὸ τῶν ψόφων ἐξαναστὰς

Μυθ. 44. Συμπλήρωσον τὸ *ἄθλιοι ἡμεῖς* καὶ ὀνόμασον τὰς δύο ταύτας λέξεις. Τὸ *ὅτι ἐμαχόμεθα* ποίου εἴδους πρότασις εἶναι;

Μυθ. 45. Ἂς ὀνομασθῶσιν αἱ προτάσεις *ὅτε τὸ καῦμα λυπεῖ τίς πίῃ, ὃς πίοι*.

ἔφυγεν· ὁ δὲ λέων, ἐπὶ πολὺ διώξας τὴν ἔλαφον, ἐπειδὴ καταβαλεῖν οὐκ ἠδυνήθη, ἐπανῆλθεν ἐπὶ τὸν λαγωόν· εὑρὼν δὲ καὶ αὐτὸν περευγότα ἔφη· «ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὅτι ἀρεὶς τὴν ἐν χερσὶ βοράν, ἐλπίδα μείζονα πρυόκρινα».

47. Ὄνος βαστάζων ἅλας.

(Halm. 322).

Πολλοὶ πάσχουσιν ἐξ ἑαυτῶν.

Ὄνος ἅλας βαστάζων ποταμὸν διήρχετο· ὀλισθήσας δὲ ὡς κατέπεσεν εἰς τὸ ὕδωρ, ἐκτακέντος τοῦ ἁλός, κουφότερος ἐξανέστη· εὐφρανθεὶς δ' ἐπὶ τούτῳ, ἐπειδὴ ὕστερόν ποτε σπόγγους ἐμπερορτισμένος ποταμὸν διέβαινεν, ᾠήθη ὅτι, εἰ πάλιν πέσῃ, ἐλαφρότερος διεγερθήσεται· καὶ δὴ εἰῶν ὠλισθησε. Συνέβη δ' αὐτῷ, τῶν σπόγγων ἀναπασάντων ὕδωρ, μὴ δυναμένῳ ἐξανίστασθαι, ἐνταῦθα ἀποπνιγῆναι.

48. Χελώνη καὶ λαγωός.

(Halm. 420).

Οἱ ἰκανοὶ ἀμελοῦντες, νικῶνται ὑπὸ τῶν ἀνικάνων ἐπιμελουμένων.

Χελώνη καὶ λαγωὸς περὶ ὀξύτητος ἤριζον· καὶ δὴ προθεσμίαν στήσαντες καὶ τόπον ἀπηλλάγησαν. Ὁ μὲν οὖν λαγωὸς διὰ τὴν φυσικὴν ὠκύτητα ἀμελήσας τοῦ δρόμου, πεσὼν παρὰ τὴν ὁδὸν ἐκοιμᾶτο, ἡ δὲ χελώνη συνειδυῖα ἑαυτῇ τὴν βραδύτητα, οὐ διέλιπε τρέχουσα, καὶ οὕτω κοιμωμένου τὸν λαγωὸν παραδραμοῦσα εἰς τὸ βραβεῖον τῆς νίκης ἀφίκετο.

Μυθ. 46. *Τὰ ὀνόματα τῶν προτάσεων ἐπειδὴ οὐκ ἠδυνήθη, ὅτι προύκρινα.*

Μυθ. 47. *Ὡσαύτως τὰ ὀνόματα τῶν προτάσεων ὡς κατέπεσεν, ἐπειδὴ διέβαινεν, ἂν πέσῃ, ὅτι διεγερθήσεται. Ποῖον τὸ ὑποκείμενον τοῦ συνέβη (ἰδὲ τὸ λεξικόν).*

49. Παῖς ψεύστης.

(Halm. 420)

Ὁ ψεύστης καὶ ἀληθῆ λέγων δὲν πιστεύεται.

Παιδίον πρόβατα νέμον, ὡς λύκον ἐρχόμενον πρὸς διαφθορὰν ὁρῶν, ἐπικαλούμενον τοὺς ἀγρότας ἔλεγε· «βοηθεῖτε ὧδε· ἔρχεται λύκος». Οἱ δὲ ἀγρόται τρέχοντες τοῦτον εὕρισκον μὴ ἀληθεύειν. Τοῦτο δὲ ποιήσαντός πολλάκις, εὕρισκον ψευδόμενον. Μετὰ δὲ ταῦτα τοῦ λύκου προσελθόντος καὶ τοῦ παιδὸς βοῶντος «δεῦτε λύκος», οὐκέτι τις ἐπίστευε προσδραμεῖν αὐτῷ καὶ βοηθῆσαι. Ὁ δὲ λύκος εὐρηκὼς ἄδειαν, τὴν ποίμνην πᾶσαν διέφθειρεν εὐκόλως.

50. Κομπαστής.

(Halm. 203).

Πᾶς λόγος περιττός, ὅταν λείπωσιν αἱ ἀποδείξεις (τὰ πράγματα).

Ἀνήρ τις ἀποδημήσας, εἶτα δὲ πάλιν πρὸς τὴν ἑαυτοῦ γῆν ἐπανελθών, ἄλλα τε πολλὰ ἐν διαφόροις ἠνδραγαθηκέναι χώραις ἐκόμπαζε, καὶ δὴ κἂν τῇ Ῥόδῳ πεπηδηκέναι πήδημα, οἷον οὐδεὶς τῶν ἐπ' αὐτοῦ δυνατὸς ἂν εἴη πηδῆσαι. Πρὸς ταῦτα δὲ καὶ μάρτυρας τοὺς ἐκεῖ παρόντας ἔλεγεν ἔχειν. Τῶν δὲ παρόντων τις ὑπολαβὼν ἔφη· «ὦ οὗτος, εἰ ἀληθὲς τοῦτ' ἔστιν, οὐδὲν δεῖ σοι μαρτύρων· ἰδοὺ ἡ Ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα».

Μυθ. 50. *Ὀνόμασον τὰς τρεῖς λέξεις οὐδεὶς εἴη (ἂν) δυνατός.*

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

Διογένης ὁ Λαέρτιος, ἐκ Λαέρτης, πόλεως τῆς Κιλικίας, φιλόσοφος καὶ γραμματικὸς ἔγραψε *βίους φιλοσόφων* ἢ μᾶλλον *βίους καὶ γνώμας τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων*. Τὰ τοῦ βίου αὐτοῦ ἄγνωστα· πιθανὸν δὲ ὅτι ἔζη ἐν Ἀθήναις ἐπὶ Αὐγούστου ἢ μικρὸν μετ' αὐτόν. Τὸ σύγγραμμα τοῦτο ἐκ βιβλίων δέκα συγκείμενον εἶναι ἐράνισμα ἄτακτον μὲν ὁπωσδήποτε, πολύτιμον δέ, ὡς διασῳσαν ἀποσπάσματα ἀρχαίων συγγραμμάτων ἀπολεσθέντων.

ΦΙΛΟΣΟΦΟΣ ΙΣΤΟΡΙΑ

1. Θαλῆς.

Τούτου ἀποφθέγματα φέρεται καὶ τάδε: πρεσβύτατον τῶν ὄντων Θεός· ἀγέννητον γάρ. Κάλλιστον κόσμος· ποίημα γὰρ Θεοῦ. Μέγιστον τόπος· ἅπαντα γὰρ χωρεῖ. Τάχιστον νοῦς· διὰ παντὸς γὰρ τρέχει. Ἰσχυρότατον ἀνάγκη· κρατεῖ γὰρ πάντων. Σοφώτατον χρόνος· ἀνευρίσκει γὰρ πάντα.

2. Σόλων.

Σόλων Ἐξηκεστίδου Σαλαμίνιος πρῶτον μὲν τὴν σεισάχθειαν εἰσηγήσατο Ἀθηναίοις. Τὸ δὲ ἦν λύτρωσις σωμάτων

1. Κατὰ τὴν *β' ἄσκησιν* (σελ. 16) εὑρὲ τὰς προτάσεις, αἵτινες ἔχουσιν ὑποκείμενον, συνδετικὸν καὶ κατηγορούμενον· προσέτι εὑρὲ τὰ ὑποκείμενα τῶν ἄλλων ῥημάτων.

2. Θὲς τὰ ὑποκείμενα ἐν ταῖς ῥήμασιν, *εἰσηγήσατο, ἦν, ἐδανείζοντο,*

τε καὶ κτημάτων. Καὶ γὰρ ἐπὶ σώμασιν ἐδανείζοντο καὶ πολλοὶ δι' ἀπορίαν ἐθήτευον. Ἕκτα δὲ τὰ λαλάντων ὀφειλομένων αὐτῷ πατρῴων, συνεχώρησε πρῶτος, καὶ τοὺς λοιποὺς τὸ ὅμοιον προύτρεψε πρᾶξαι. Καὶ οὗτος ὁ νόμος ἐκλήθη σεισάχθεια· φανερὸν δέ, διατί. Ἔπειτα τοὺς λοιποὺς νόμους ἔθηκεν, οὓς εἰς τοὺς ἄξονας κατέθετο.

3. Χείλων.

α'. Φασὶ τὸν Χείλωνα Αἰσώπου πυθέσθαι ὁ Ζεὺς τί εἴη ποιῶν· τὸν δὲ φάναι, Τὰ μὲν ὑψηλὰ ταπεινοῦν, τὰ δὲ ταπεινὰ ὑψοῦν.

β'. Ἐρωτηθείς, τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη, Ἐλπίσιν ἀγαθαῖς. Αὖθις ἐρωτηθείς, Τί δύσκολον, ἔφη, Τὸ τὰ ἀπόρρητα σιωπᾶται, καὶ σχολὴν εὖ διαθέσθαι, καὶ ἀδικούμενον δύνασθαι φέρειν.

γ'. Ὁ Χείλων προσέταττε καὶ ταῦτα. Γλώττης κρατεῖν, καὶ μάλιστα ἐν συμποσίῳ μὴ κακολογεῖν τοὺς πλησίον, εἰδὲ μή, ἀκούεσθαι, ἐφ' οἷς λυπηθήσεσθαι· μὴ ἀπειλεῖν μηδενί, γυναικῶδες γάρ· ταχύτερον ἐπὶ τὰς ἀτυχίας τῶν φίλων ἢ ἐπὶ τὰς εὐτυχίας πορεύεσθαι.

4. Κλεόβουλος.

Κλεόβουλος ἔλεγε τὸν φίλον δεῖν εὐεργετεῖν, ὅπως ᾖ μᾶλλον

ἐθήτευον, συνεχώρησε, προύτρεψεν, ἐκλήθη, ἔθηκε, κατέθετο. Τί εἶνε τὰ *λύτρωσις* καὶ *σεισάχθεια* κατὰ *ἐν τῇ β' ἀσκήσει*;

3. Κατὰ τὰ προηγούμενα *(γ' ἄσκησις παρατ.)* ποίου εἴδους εἶναι αἱ προτάσεις τί *ὁ Ζεὺς εἴη ποιῶν* (τὸ *εἴη ποιῶν* ἀντὶ τοῦ ἁπλοῦ *ποιεῖ*). τίνι *οἱ πεπαιδευμένοι διαφέρουσι· τί δύσκολον*. Τῆς τελευταίας ταύτης προτάσεως αἱ δύο λέξεις πῶς ὀνομάζονται *(ἄσκ. β')* καὶ τί ἐλλείπει;

4. Κατὰ τὴν αὐτὴν ἄσκησιν ὀνόμασον καὶ τὰς ἑξῆς προτάσεις·

φίλος, τὸν δὲ ἐχθρὸν φίλον ποιεῖν· ρυλασσεσθαι γὰρ τῶν μὲν φίλων τὸν ψόγον, τῶν δὲ ἐχθρῶν τὴν ἐπιβουλήν. Καὶ ὅταν τις ἔξίῃ τῆς οἰκίας, ζητεῖτω πρότερον τί μέλλει πράσσειν, ὅταν δ' εἰσέλθῃ πάλιν, ζητεῖτω τί ἔπραξεν.

5. Ἀνάχαρσις.

Ἑρμιππός φησιν Ἀνάχαρσιν, πρὸς τὴν Σόλωνος οἰκίαν ἀφικόμενον, τῶν θεραπόντων τινὰ κελεῦσαι μηνύσαι, ὅτι παρείη πρὸς αὐτὸν Ἀνάχαρσις καὶ βούλοιτο αὐτὸν θεάσασθαι, ξένος τε, εἰ οἷόν τε, γενέσθαι. Καὶ ὁ θεράπων εἰσαγγείλας ἐκελεύσθη ὑπὸ τοῦ Σόλωνος εἰπεῖν αὐτῷ, ὅτι περ ἐν ταῖς ἰδίαις πατρίσι ξένους ποιοῦνται. Ἔνθεν ὁ Ἀνάχαρσις ἐλθὼν ἔφη, νῦν αὐτὸς ἐν τῇ πατρίδι εἶναι, καὶ προσήκειν αὐτῷ ξένους ποιεῖσθαι. Ὁ δὲ καταπλαγεὶς τὴν ἑτοιμότητα εἰσέρρησεν αὐτὸν καὶ μέγιστον φίλον ἐποιήσατο.

ὅπως (ὁ φίλος) ἢ μᾶλλον φίλος (μᾶλλον φίλος = φίλτερος), ὅταν τις ἐξίῃ, τί μέλλει, ὅταν εἰσέλθῃ, τί ἔπραξεν. Ποῦ ἐλλείπει τὸ ὑποκείμενον καὶ ποῖον εἶναι;

5. Ὀνόμασον ὁμοίως τὰς προτάσεις ὅτι *παρείη* καὶ *βούλοιτο* καὶ θὲς τὸ πρέπον ὑποκείμενον.

δ΄ ἄσκησις. Ὅπως λέγομεν *καλὸς ἄνθρωπος, καλοῦ ἀνθρώπου* κτλ. *καλὴ γυνή, καλῆς γυναικός* κτλ. *καλὸν παιδίον, καλοῦ παιδίου* κτλ. οὕτω καὶ *ἱπποκόμος κλέπτων* ἱπποκόμου *κλέπτοντος* (μυθ. 1), *κίνδυνος ἐφεστὼς κινδύνου ἐφεστῶτος* (μυθ. 13), *ἀλώπηξ λιμώττουσα* ἀλώπεκος *λιμώττούσης* (μυθ. 12), *πάρδαλις προβαλλομένη παρδάλεως προβαλλομένης* (μυθ. 7), *οἶκος κεκονιαμένος* κτλ. *οἴκῳ κεκονιαμένῳ* (μυθ. 15), *ὄρνις τίκτουσα* κτλ. *ὄρνιν τίκτουσαν* (μυθ. 5), *ἐκεῖνος θερμανθείς* ἐκείνου θερμανθέντος (μυθ. 20), *ἐκείνη πειράζουσα* (μυθ. 22), *ταύτης ἐμπεσούσης* (μυθ. 34) κτλ. κτλ.

α΄ Παραπ. Ἡ μετοχὴ κατὰ ταῦτα συμφωνεῖ πρὸς ἓν ὄνομα ἢ μίαν ἀντωνυμίαν (ἢ ὁποία ἐπέχει τόπον ὀνόματος) κατὰ γένος ἀριθμὸν καὶ πτῶσιν. Εὑρίσκοντες λοιπὸν μετοχήν τινα ὀφείλομεν νὰ ζητήσωμεν, ποῖον εἶναι τὸ ὄνομα ἢ ἡ ἀντωνυμία, πρὸς τὰ ὁποῖα ἀναφέρεται συμφωνοῦσα, ὡς εἴπομεν.

6. Ἐπιμενίδης.

Οὗτός ποτε πεμφθεὶς παρὰ τοῦ πατρὸς εἰς ἀγρὸν ἐπὶ πρόβατον, τῆς ὁδοῦ κατὰ μεσημβρίαν ἐκκλίνας, ὑπ' ἄντρῳ τινὶ κατεκοιμήθη ἑπτὰ καὶ πεντήκοντα ἔτη. Διαναστὰς δὲ μετὰ ταῦτα ἐζήτει τὸ πρόβατον, νομίζων ἐπ' ὀλίγον κεκοιμῆσθαι. Ὡς δὲ οὐχ εὗρισκε, παρεγένετο εἰς τὸν ἀγρόν, καὶ μετεσκευασμένα πάντα καταλαβών καὶ παρ' ἑτέρῳ τὴν κτῆσιν, πάλιν ἦκεν εἰς ἄστυ διαπορούμενος· κἀκεῖ δὲ εἰς τὴν ἑαυτοῦ εἰσιὼν οἰκίαν, περιέτυχε τοῖς πυνθανομένοις, τίς εἴη· ἕως τὸν νεώτερον ἀδελφὸν εὑρών, τότε ἤδη γέροντα ὄντα, πᾶσαν ἔμαθε παρ' ἐκείνου τὴν ἀλήθειαν.

β΄ Παραπ. Ἡ μετοχὴ φαίνεται ὁμοιάζουσα πρὸς τὸ ἐπίθετον, ὡς ἔχουσα ὁμοίως τρία γένη καὶ κλινομένη κατὰ μίαν ἐκ τῶν τριῶν κλίσεων. Ἀλλ' εἶναι συγχρόνως καὶ ῥῆμα, διότι ἀπαιτεῖ καὶ αὖτη, ὅπως τὸ ῥῆμα, ὑποκείμενον, προσέτι δὲ εἶναι ἐνεργητικὴ καὶ παθητικὴ καὶ σχηματίζεται ἐν πᾶσι τοῖς χρόνοις. Ὡς *μετέχουσα* λοιπὸν τῆς φύσεως καὶ τοῦ ἐπιθέτου καὶ τοῦ ῥήματος ὠνομάσθη *μετοχή*. Τὸ ὑποκείμενον λοιπὸν τῆς μετοχῆς εἶναι αὐτὸ τὸ ὄνομα ἢ ἡ ἀντωνυμία, εἰς τὴν ὁποίαν ἀναφέρεται. Οὕτω *ἱπποκόμος* (ὑποκ.) *κλέπτων* (ῥῆμ.), *κινδύνου* (ὑποκ.) *ἐφεστῶτος* (ῥῆμα), *παρδάλεως* (ὑπ.) *προβαλλομένης* (ῥῆμα), *οἴκῳ* (ὑποκ.) *κεκονιαμένῳ* (ῥῆμα), *ὄρνιν* (ὑποκ.) *τίκτουσαν* (ῥῆμ.), *ἐκεῖνος* (ὑποκ.) *θερμανθείς* (ῥῆμ.), *ταύτης* (ὑποκ.) *ἐμπεσούσης* (ῥῆμα).

δ. Εἰς ποῖον ὄνομα ἢ ἀντωνυμίαν ἀναφέρονται αἱ μετοχαὶ *πεμφθείς, ἐκκλίνας, διαναστάς, νομίζων, μετεσκευασμένα, διαπορούμενος, εἰσιών, εὑρών, ὄντα*; Ποῖον τὸ ὑποκείμενον τῶν μετοχῶν τούτων; Εὑρὲ τὰς κυρίας καὶ δευτερευούσας προτάσεις καὶ πρόσθες καὶ τὰ ὑποκείμενα αὐτῶν. Τὸ χρονικὸν *ἕως* εἰς ποῖον ῥῆμα ἀναφέρεται;

7. Σωκράτης.

α'. Σωκράτης ἀποδημίας οὐκ ἐδεήθη, καθάπερ οἱ πλείους, πλήν, εἰ μὴ στρατεύεσθαι ἔδει. Τὸ δὲ λοιπὸν αὐτόθι μένων, φιλονεικότερον συνεζήτει ταῖς προσδιαλεγομένοις, οὐχ ὥστε ἀφελέσθαι τὴν δόξαν αὐτούς, ἀλλ' ὥστε τὸ ἀληθὲς ἐκμαθεῖν πειρᾶσθαι. Φασὶ δ' Εὐριπίδην αὐτῷ δόντα τοῦ Ἡρακλείτου σύγγραμμα ἐρέσθαι, τί δοκεῖ τὸν δὲ φάναι. Ἃ μὲν συνῆκα γενναῖα, οἶμαι δέ, καὶ ἃ μὴ συνῆκα, πλὴν Δηλίου γέ τινος δεῖται κολυμβητοῦ.

β'. Ἀλκιβιάδου ποτὲ διδόντος Σωκράτει χώραν μεγάλην, ἵνα οἰκοδομήσηται οἰκίαν, λέγεται αὐτὸν φάναι. Καὶ εἰ ὑποδημάτων ἔδει, βύρσαν μοι ἐδίδους, ἵν' ἐμαυτῷ ὑποδήματα ποιησαίμην; καὶ καταγέλαστος ἂν ἦν λαβών. Πολλάκις δ' ἀφορῶν εἰς τὰ πλήθη τῶν πιπρασκομένων, ἔλεγε πρὸς αὐτόν. Πόσων ἐγὼ χρείαν οὐκ ἔχω!

γ'. Ἐπὶ τῇ εὐτελείᾳ σεμνυνόμενος μισθὸν οὐδένα εἰσεπράττετο, ἔλεγε δέ, ἥδιστα ἐσθίων ἥκιστα ὄψου προσδεῖσθαι, καὶ ἥδιστα πίνων ἥκιστα τὸ μὴ παρὸν ποτὸν ἀναμένειν, ἐλαχίστων δὲ δεόμενος ἔγγιστα εἶναι θεῶν.

δ'. Καλέσας ποτὲ ἐπὶ δεῖπνον πλουσίους καὶ τῆς Ξανθίππης αἰδομένης ἔφη, Θάρρει· εἰ μὲν γὰρ εἶεν μέτριοι, συμπεριενεχθεῖεν ἄν· εἰ δὲ φαῦλοι, ἡμῖν αὐτῶν οὐδὲν μελήσει. Ἔλεγε δὲ τοὺς μὲν ἄλλους ἀνθρώπους ζῆν, ἵν' ἐσθίωσιν· αὐτὸν δ' ἐσθίειν, ἵνα ζῷη.

7. Τὰ ὑποκείμενα τῶν ῥημάτων καὶ μετοχῶν· *ἐδεήθη, μένων, συνεζήτει, φασί, δόντα, δοκεῖ, συνῆκα, οἶμαι, δεῖται, διδόντος, οἰκοδομήσηται, λέγεται* (ἰδὲ ἐν τῷ λεξικῷ τὰ ῥήματα *δεῖ, χρή, συνέβη*), *ἐδίδους, κατηγόρει, ἔφη, ἔλεγε, ἔχω. Σεμνυνόμενος, εἰσεπράττετο, ἐσθίων, λέγων κτλ.*

ε'. Κατεδικάσθη ὁ Σωκράτης διακοσίαις ὀγδοήκοντα μιᾷ πλείοσι ψήφοις τῶν ἀπολουσῶν· τιμωμένων δὲ τῶν δικαστῶν, τί χρὴ παθεῖν αὐτὸν ἢ ἀποτίσαι, πέντε καὶ εἴκοσιν ἔφη δραχμὰς ἀποτίσειν. Θορυβησάντων δὲ τῶν δικαστῶν, ἕνεκα μέν, εἶπε, τῶν ἐμοὶ διαπεπραγμένων τιμῶμαι τὴν δίκην τῆς ἐν Πρυτανείῳ σιτήσεως. Καὶ οἱ θάνατον αὐτοῦ κατέγνωσαν, προσθέντες ἄλλας ψήφους ὀγδοήκοντα. Καὶ δεθεὶς μετ' οὐ πολλὰς ἡμέρας ἔπιε τὸ κώνειον.

8. Ξενοφῶν.

Τοῦτον ἐν στενωπῷ φασὶν ἀπαντήσαντα Σωκράτει, διατεῖναι τὴν βακτηρίαν καὶ κωλύειν παριέναι, πυνθανόμενον, Πεῖ πιπράσκοιτο τῶν προσφερομένων ἕκαστον· ἀποκρινομένου δὲ πάλιν πυθέσθαι, Ποῦ δὲ καλοὶ κἀγαθοὶ γίνονται ἄνθρωποι· ἀπορήσαντος δέ, Ἕπου τοίνυν, φάναι, καὶ μάνθανε. Καὶ τοὐντεῦθεν ἀκροατὴς Σωκράτους ἦν.

Σημ. Ὅταν ὡρισμένον ὑποκείμενον ἐλλείπῃ ἐν τοῖς ῥήμασι *φασί, λέγουσιν*, ἐννοεῖται τότε ὡς ὑποκείμενον τὸ *οἱ ἄνθρωποι*, ὡς καὶ ἐν τῇ λαλουμένῃ. Ἐν τῇ προτάσει *εἰ εἶεν μέτριοι* εἶπε ὑποκείμενον, συνδ. καὶ κατηγορούμενον· ἐν τῇ ἐλλιπεῖ προτάσει *εἰ φαῦλοι* συμπλήρωσον τὰ ἐλλείποντα.

ε΄ ἄσκησις. Αἱ περισσότεραι μετοχαὶ ἰσοδυναμοῦσι πρὸς τὰς πρώτας ἑπτὰ δευτερευούσας προτάσεις (*γ΄ ἄσκησις* σελ. 26) καὶ δύνανται νὰ μεταβληθῶσιν εἰς ταύτας ἀναλυόμεναι διὰ τοῦ πρέποντος συνδέσμου καὶ τινος ἐγκλίσεως (ὁριστικῆς, ὑποτακτικῆς ἢ εὐκτικῆς). Αἱ μετοχαὶ αὗται κατὰ τοὺς συνδέσμους, δι' ὧν ἀναλύονται, ὀνομάζονται α') χρονικαί, οἷον γαλῆ *εἰσελθοῦσα* περιέλειχε (μυθ. 4) = γαλῆ, ἐπεὶ εἰσῆλθε, (ἀφ' οὗ ἐμβῆκε), περιέλειχε· β') αἰτιολογικαί, οἷον: συνέβη . . . *ἐκτριβομένης* τῆς γλώσσης (αὐτ.) = ἐπειδὴ ἐξετρίβετο ἡ γλῶσσα· γ') τελικαί, οἷον· τράγος κατῆλθε *πιόμενος* = ἵνα πίῃ· δ') ὑποθετικαί, οἷον: σὺ *εἰ εὐήθης οἰόμενος* (μυθ. 24)= εἰ οἴει (ἂν νομίζῃς)· ε') ἐναντιωματικαί, οἷον: θήγει κινδύνου μὴ *ἐνεστῶτος* (μυθ. 13)

9. Ἀρίστιππος.

α'. Παριόντα ποτὲ τὸν Ἀρίστιππον Διογένης λάχανα πλύνων ἔσκωψε καί φησιν, Εἰ ταῦτα ἔμαθες προσφέρεσθαι, οὐκ ἂν πλουσίων οὐλὰς ἐθεράπευες. Ὁ δέ, Καὶ σύ, εἶπεν, εἶπερ ἤδεις ἀνθρώποις ὁμιλεῖν, οὐκ ἂν λάχανα ἔπλυνες.

β'. Ἐρωτηθεὶς ὑπὸ Διονυσίου, διατί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι; ἔφη, ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δὲ οὐκ ἴσασιν.

γ'. Ἐρωτηθεὶς ὑπό τινος, Τί αὐτοῦ ὁ υἱὸς ἀμείνων ἔσται

=εἰ καὶ κίνδυνος μὴ ἐνέστηκε (ἐν ᾧ δὲν ἐπίκειται)· στ') ἀναφορικαί, οἷον: γυνὴ εἶχεν ὄρνιν *τίκτουσαν* (μυθ. 5)=ἣ ἔτικτεν. Εἰς ταύτας συγκαταριθμοῦνται ζ') αἱ τροπικαί, αἵτινες δὲν ἀναλύονται, σημαίνουσι δὲ ἁπλῶς τὸν τρόπον, οἷον: ἠκολούθει θρηνῶν (μυθ. 23)=ἐν θρήνοις.

α' Παρατήρησις. Ἡ διὰ τῶν χρονικῶν μετοχῶν σημαινομένη διάθεσις (ἐνέργεια δηλ. ἢ πάθησις ἢ κατάστασις) εἶναι ἢ σύγχρονος τῇ δεαθέσει τοῦ θέματος, μεθ' οὗ συντάσσεται, οἷον: *προοχωρῶν ἑώρων* =ἐν ᾧ προὐχώρουν, ἔβλεπον, ἔνθα φαίνεται ὅτι καὶ ἡ πρόοδος καὶ ἡ ὅρασις συγχρόνως ἐγένοντο. (Τὸ *σύγχρονον* σημαίνουσιν οἱ σύνδεσμοι *ὅτε, ὁπότε, ἡνίκα, ἕως, ἕστε, ἐν ᾧ, ἄχρι, μέχρι*· ἢ προτερόχρονος, οἷον *ἐλθὼν εἶδον*=ἐπεὶ ἦλθον, εἶδον, ἔνθα πάλιν φαίνεται ὅτι πρῶτον ἦλθον καὶ ἔπειτα εἶδον. Οἱ χρονικοὶ σύνδ. διὰ τὸ προτερόχρονον εἶναι *ἐπεί, ἐπειδή, ὡς, ἀφ' οὗ, πρίν, ἐξ οὗ*.

β' Παρατ. Ἡ μετοχὴ σημαίνει ἢ ὅτι τώρα γίνεταί τι, ἢ ὅτι τὸ πάλαι ἐγένετό τι, ἢ ὅτι ἐν τῷ μέλλοντι πρόκειται νὰ γίνῃ τι· ὅταν ἐννοῶμεν τὸ μέλλον, ἀναλύομεν διὰ τῶν χρονικῶν συνδέσμων συνήθως *ἐὰν* τῷ *ἄν*, οἷον *ἐλθὼν ἐρῶ* = ἐπειδὰν ἔλθω, ἐρῶ.

9. Αἱ μετοχαὶ *παριόντα* (= ὅτε παρῆει), *πλύνων* (= ἐν ᾧ ἔπλυνε) πρῶτον εἰς ποῖον ὄνομα ἢ ἀντωνυμίαν ἀναφέρονται καὶ ποῖον ἑπόμενον τὸ ὑποκείμενον αὐτῶν; δεύτερον σημαίνουσι τὸ σύγχρονον ἢ τὸ προτερόχρονον;

Αἱ μετοχαὶ *ἐρωτηθεὶς* (= ἐπεὶ ἠρωτήθη), *παιδευθείς*, (= ἐπειδὰν παιδευθῇ) τί ὡσαύτως σημαίνουσιν;

παιδευθείς; Καὶ εἰ μηδὲν ἄλλο, εἶπεν, ἐν γοῦν τῷ θεάτρῳ οὐ καθεδήσεται λίθος ἐπὶ λίθῳ.

δ'. Συνιστάντος τινὸς αὐτῷ υἱόν, ἤτησε πεντακοσίας δραχμάς· τοῦ δὲ εἰπόντος. Τοσούτου δύναμαι ἀνδράποδον ὠνήσασθαι, Πρίω, ἔφη, καὶ ἕξεις δύο.

10. Πλάτων.

Διαιρεῖται ἡ εὐγένεια εἰς εἴδη τέτταρα· ἓν μέν, ἐὰν ὦσιν οἱ πρόγονοι καλοὶ κἀγαθοὶ καὶ δίκαιοι, τοὺς ἐκ τούτων γεγενημένους εὐγενεῖς φασιν εἶναι· ἄλλο δέ, ἐὰν ὦσιν οἱ πρόγονοι δεδυναστευκότες καὶ ἄρχοντες γεγενημένοι, τοὺς ἐκ τούτων εὐγενεῖς φασιν εἶναι· ἄλλο δέ, ἐὰν ὦσιν οἱ πρόγονοι ὀνομαστοὶ ἀπὸ στεφανιτῶν ἀγώνων, καὶ τοὺς ἐκ τούτων γεγενημένους εὐγενεῖς προσαγορεύομεν. Ἄλλο εἶδος, ἐὰν αὐτός τις ᾖ γενναδας τὴν ψυχὴν καὶ μεγαλόψυχος, καὶ τοῦτον εὐγενῆ φασι, καὶ τῆς γε εὐγενείας αὕτη κρατίστη. Τῆς ἄρα εὐγενείας τὸ μὲν ἀπὸ προγόνων ἐπιεικῶν, τὸ δὲ δυναστῶν, τὸ δὲ ἐνδόξων, τὸ δὲ ἀπὸ τῆς αὐτοῦ καλοκἀγαθίας.

11. Ἀριστοτέλης.

α'. Καλλίστα τούτου ἀπορθέγματα φέρεται καὶ τάδε. Ἐρωτηθείς ποτε, Τί περιγίνεται κέρδος τοῖς ψευδομένοις, ἔφη, Ὅταν λέγωσιν ἀλήθειαν, μὴ πιστεύεσθαι.

β'. Ὀνειδιζόμενός ποτε, ὅτι πονηρῷ ἀνθρώπῳ ἐλεημοσύνην ἔδωκεν, Οὐ τὸν τρόπον, εἶπεν, ἀλλὰ τὸν ἄνθρωπον ἠλέηται.

γ'. Συνεχὲς εἰώθει λέγειν πρός τε τοὺς φίλους καὶ τοὺς φοιτῶντας αὐτῷ, ἔνθα ἂν καὶ ὅπου διατριβὼν ἔτυχεν, Ὡς ἡ μὲν ὅρασις ἀπὸ τοῦ περιέχοντος ἀέρος λαμβάνει τὸ φῶς, ἡ δὲ ψυχὴ ἀπὸ τῶν μαθημάτων.

δ'. Ἐρωτηθείς, Τί γηράσκει ταχύ, Χάρις, ἔφη· Τί δ' ἔστιν

10. Ὀνόμασον τὰς τρεῖς λέξεις τῶν προτάσεων: *ἐὰν οἱ πρόγονοι ὦσιν ὀνομαστοί, ἐάν τις ᾖ γενναδας*· πῶς λέγονται αἱ προτάσεις αὗται;

ἐλπίς, Ἐγκηγορότος, εἶπεν, ἐνύπνιον. Τίνι δὲ διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ὅτῳ, εἶπεν, οἱ ζῶντες τῶν τεθνηκότων.

ε'. Ἐρωτηθείς, Πῶς ἂν προκόπτοιεν οἱ μαθηταί, ἔφη, Ἐὰν τοὺς προέχοντας διώκοντες τοὺς ὑστεροῦντας μὴ ἀναμένωτιν.

12. Διογένης.

α'. Τῷ Διογένει ἐν τῷ Κρανίῳ ἡλιουμένῳ Ἀλέξανδρος ἐπιστὰς φησιν, Αἴτησόν με ὃ θέλεις· καὶ ὅς, Ἀποκύτησόν μου, φησιν.

β'. Πλάτωνος ὁρισαμένου, Ἄνθρωπός ἐστι ζῷον δίπουν ἄπτερον, καὶ εὐδοκιμοῦντος, Διογένης τίλας ἀλεκτρυόνα εἰσήνεγκεν εἰς τὴν Σχολὴν αὐτοῦ καὶ φησιν, Οὗτός ἐστιν ὁ Πλάτωνος ἄνθρωπος. Ὅθεν τῷ ὁρῳ προσετέθη τὸ πλατυώνυχον.

γ'. Πρὸς τοὺς περὶ τὰ ὀνείρατα ἐπτοημένους ἔλεγεν, ὡς ὑπὲρ μὲν ὧν μὲν πράττουσιν ὕπαρ, οὐκ ἐπιστρέφονται, ὑπὲρ ὧν δὲ καθεύδοντες φαντασιοῦνται, πολυπραγμονοῦσιν.

δ'. Εἰς Μύνδον ἐλθὼν καὶ θεασάμενος μεγάλας τὰς πύλας, μικρὰν δὲ τὴν πόλιν, Ἄνδρες Μύνδιοι, ἔφη, κλείσατε τὰς πύλας, μὴ ἡ πόλις ὑμῶν ἐξέλθῃ.

13. Κλεάνθης.

Οὗτος διεβοήθη ἐπὶ φιλοπονίᾳ, ὡς γε πένης ὢν ἄγαν ὤρμησε μισθοφορεῖν, καὶ νύκτωρ μὲν ἐν τοῖς κήποις· ἤντλει, μεθ' ἡμέραν δὲ ἐν τοῖς λόγοις ἐγυμνάζιτο· ὅθεν καὶ Φρεάντλης ἐκλήθη. Φασὶ δὲ αὐτὸν καὶ εἰς δικαστήριον ἀχθῆναι, λόγους δώσοντα, πόθεν ἐς τοσοῦτον εὐίκτης ὢν διαζῇ· ἔπειτα ἀποφυγεῖν, τόν τε κηπουρὸν μάρτυρα παρασχόντα καὶ τὴν ἀλριτόπωλιν, παρ' ᾗ τὰ ἅλφιτα ἔπεττεν.

Σημ. Πάντα τὰ μέχρι τοῦδε εἰρημένα ἂς ἐφαρμοσθῶσι καὶ ἐπὶ τοῦ ἑξῆς κειμένου.

ΠΛΟΥΤΑΡΧΟΥ

Ὁ Πλούταρχος ἐγεννήθη ἐν Χαιρωνείᾳ (τῇ νῦν Καπραίνῃ) τῆς Βοιωτίας περὶ τὰ μέσα τῆς α' μ. Χ. ἑκατονταετηρίδος. Τὰ ὀνόματα τῶν γονέων αὐτοῦ εἶναι ἄγνωστα· ἀναφέρονται δὲ μόνον ὁ πρόπαππος αὐτοῦ *Νίκαρχος*, ὁ πάππος *Λαμπρίας*, οἱ ἀδελφοί του *Λαμπρίας* καὶ *Τίμων* καὶ ὁ ἀνεψιὸς *Σέξτος*, ὅστις ἦτο φιλόσοφος καὶ ἐχρημάτισε καὶ διδάσκαλος τοῦ αὐτοκράτορος *Μάρκου Ἀντωνίνου*. Ἐκ τῆς γυναικὸς *Τιμοξένης* ἐγέννησε τέσσαρα τέκνα, τὸν *Πλούταρχον*, τὸν *Αὐτόβουλον*, τὸν *Λαμπρίαν* καὶ τὴν *Τιμοξένην*.

Σπουδάσας ἐν Ἀθήναις ὑπὸ τὸν Ἀμμώνιον μετέβη εἰς Ῥώμην, ἔνθα πολὺν χρόνον διέτριψεν. Ἐνταῦθα φίλον ἐκτήσατο τὸν *Κ. Σόσιον Σενεκίωνα* τὸν πολλάκις γενόμενον ὕπατον, πρὸς δὲ καὶ ἐγένετο διδάσκαλος τοῦ μέλλοντος αὐτοκράτορος Ἀδριανοῦ. Ἐκ Ῥώμης ἐπανελθὼν εἰς τὴν πατρίδα διωρίσθη ὑπὸ τοῦ αὐτοκράτορος τούτου ἄρχων ἐν Χαιρωνείᾳ καὶ ἱερεὺς τοῦ Πυθίου Ἀπόλλωνος. Ἐνταῦθα συγγράφων ἐτελεύτησε περὶ τὰ 120 μ. Χ. Τὰ ἔργα του εἶνε α) βίοι παράλληλοι καὶ β) τὰ ἠθικά.

ΑΠΟΦΘΕΓΜΑΤΑ

1. Σεμίραμις ἑαυτῇ κατασκευάσασα τάφον ἐπέγραψεν· ὅστις ἂν χρημάτων δεηθῇ, διελόντα τὸ μνημεῖον λαβεῖν ὅσα βούλεται. Δαρεῖος οὖν διελὼν χρήματα μὲν οὐχ εὗρε, γράμμασι δ' ἑτέροις ἐνέτυχε τόδε φράζουσιν: εἰμὶ κακὸς ἦσθ' ἀνὴρ καὶ χρημάτων ἄπληστος, οὐκ ἂν νεκρῶν θήκας ἐκίνεις.

2. Διονύσιος ὁ πρεσβύτερος χρήματα εἰσπράσσων τοὺς Συρακουσίους, εἶτα ὁρῶν ὀδυρομένους καὶ δερομένους καὶ λέγοντας, ὡς οὐκ ἔχουσιν, ἐκέλευσεν ἕτερα πράττειν, καὶ δὶς ἢ τρὶς τοῦτο ἐποίησεν· ἐπεὶ δὲ προστάξας πλείονα ἤκουσε γελᾶν αὐτοὺς καὶ σκώπτειν ἐν ἀγορᾷ περιϊόντας, ἐκέλευσε παύσασθαι· νῦν γὰρ οὐδὲν ἔχουσιν, εἶπεν, ὅτε καταφρονοῦσιν ἡμῶν.

Ἐν τοῖς ἑξῆς ἀναλύομεν ὀλίγας μόνον μετοχάς, ἵνα ὁ μαθητὴς ὁδηγούμενος ἐκ τῶν ἤδη εἰρημένων ἐν τῇ ε' ἀσκησ. καὶ τῇ α' παρατηρ.) ὀνομάζῃ πρῶτον τὸ εἶδος τῶν μετοχῶν, ἂν δηλαδὴ εἶναι χρονικαὶ ἢ αἰτιολογικαὶ κτλ. δεύτερον, ἂν δι' αὐτῶν σημαίνηται τὸ σύγχρονον ἢ τὸ προτερόχρονον, καὶ τρίτον τὸ ὑποκείμενον αὐτῶν. Πρὸς τούτοις ἀναγράφομεν σποράδην λαμβάνοντες α) ὑποκείμενα μόνα πρὸς εὕρεσιν τῶν ῥημάτων κλ. ῥήματα μόνα πρὸς εὕρεσιν τῶν ὑποκειμένων· β) προτάσεις κυρίας καὶ δευτερευούσας χάριν τῆς διακρίσεως αὐτῶν καὶ τῆς εἰδικωτέρας ὀνομασίας τῶν δευτερευουσῶν· γ) προτάσεις ἐχούσας τὸ ὑποκείμενον, συνδετικὸν καὶ κατηγορούμενον ἢ μόνον ὑποκ. καὶ κατηγορούμενον πρὸς ἀναπλήρωσιν τοῦ συνδετικοῦ.

Τὰς εὐκολωτέρας εἰς τὴν ἀνάλυσιν μετοχὰς προϊόντες καταλείπομεν τῷ μαθητῇ.

1. Κατασκευάσασα = ἐπεὶ κατεσκείασε· *διελόντα* = ἐπειδὰν διέλῃ· *διελὼν*=ἐπεὶ διεῖλε· *φράζουσι* (γράμμασιν,=ἃ ἔφραζον.

2. Εἰσπράσσων, εἶτα *ὁρῶν*=ἐπειδὴ εἰσέπρασσεν, εἶτα ἑώρα· *προστάξας*=ἐπεὶ προσέταξεν· *περιϊόντας*=ἐν ᾧ περιήρχοντο.

3. Φίλιππος ἔλεγεν Ἀθηναίους μακαρίζειν, εἰ καθ' ἕκαστον ἐνιαυτὸν εὑρίσκουσι δέκα στρατηγοὺς αἱρεῖσθαι· αὐτὸς γὰρ ἓν πολλοῖς ἔτεσιν ἕνα μόνον στρατηγὸν εὑρηκέναι, Παρμενίωνα.

Ὁ αὐτὸς βουλόμενος ῥοῦριόν τι λαβεῖν ὠχυρόν, ὡς ἀπήγγειλαν οἱ κατάσκοποι χαλεπὸν εἶναι παντάπασι καὶ ἀνάλωτον, ἠρώτησεν, Εἰ χαλεπὸν οὕτως ἐστίν, ὥστε μηδὲ ὄνον προσελθεῖν χρυσίον κομίζοντα.

4. Ἀλέξανδρος ἔτι παῖς ὤν, πολλὰ τοῦ πατρὸς κατορθοῦντος, οὐκ ἔχαιρεν, ἀλλὰ πρὸς τοὺς συστρεφομένους ἔλεγε παῖδας, Ἐμοὶ δ' ὁ πατὴρ οὐδὲν ἀπολείψει. Τῶν δὲ παίδων λεγόντων ὅτι, Ταῦτα σοὶ κτᾶται, εἶπε, Τί ὄφελος, ἐὰν ἔχω μὲν πολλά, πράζω δὲ μηδέν.

Δαρείου διδόντος αὐτῷ μυρία τάλαντα καὶ τὴν Ἀσίαν νείμασθαι πρὸς αὐτὸν ἐπίσης, καὶ Παρμενίωνος εἰπόντος, ἔλαβον ἄν, εἰ Ἀλέξανδρος ἦμην, Κἀγώ νὴ Δία, εἶπεν, εἰ Παρμενίων ἤμην. Δαρείῳ δὲ ἀπεκρίνατο μήτε τὴν γῆν ἡλίους δύο, μήτε τὴν Ἀσίαν δύο βασιλεῖς ὑπομένειν.

5. Πύρρος Ῥωμαίοις συμβαλὼν δὶς ἐνίκησε, πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἀπολέσας, ἔφη δέ, Ἂν ἔτι μίαν μάχην Ῥωμαίους νικήσωμεν, ἀπολώλαμεν.

---

3. Εὑρίσκουσι, βουλόμενος=ἐπειδὴ ἐβούλετο· *ὡς ἀπήγγειλαν· χαλεπὸν ἐστιν.*

Σημ. α' ἐν ἑδαφ. 1 καὶ 3 αἱ μετοχαὶ *ὀδυρομένους, δερομένους, λέγοντας, κομίζοντα* εἶναι ἄλλο εἶδος μετοχῶν, περὶ ὧν κατωτέρω (ἰδὲ καὶ λεξικόν).

4. Ὤν=ὅτε ἦν· τοῦ πατρὸς *κατορθοῦντος* = ἐν ᾧ ὁ πατὴρ κατώρθου· τῶν παίδων *λεγόντων*=ἐπειδὴ οἱ παῖδες ἔλεγον· Δαρ. *δ.δόντος* καὶ Παρμ. *εἰπόντος*=ὅτε ὁ Δ. ἐδίδου καὶ ὁ Π. εἶπεν· *ἦμην Ἀλέξανδρος, Παρμενίων.*

6. Θεμιστοκλῆς οὐ πεισθεὶς τὸν Εὐρυβιάδην ἐν τοῖς κατὰ Σαλαμῖνα στενοῖς ναυμαχῆσαι, κύρια πρὸς τὸν Ξέρξην ἔπεμψε παραιτῶν μὴ δεδιέναι τοὺς Ἕλληνας ἀποδιδράσκοντας· ἐπεὶ δὲ πεισθεὶς ἐκεῖνος ἡττήθη, ναυμαχήσας ὅπου συνέφερε τοῖς Ἕλλησι, πάλιν ἔπεμψε πρὸς αὐτόν, κελεύων φεύγειν ἐπὶ τὸν Ἑλλήσποντον τὴν ταχίστην, ὡς τῶν Ἑλλήνων διανοουμένων λύειν τὴν γέφυραν, ἵνα σῴζων τοὺς Ἕλληνας δοκῇ ἐκεῖνον σῴζειν.

7. Ἀριστείδης. Τῶν Ἀθηναίων ὁρισμένων ἐπὶ τὸν ἐξοστρακισμὸν Ἀριστείδου, ἄνθρωπος ἀγράμματος καὶ ἄγροικος ὄστρακον ἔχων προσῆλθεν αὐτῷ, κελεύων ἐγγράψαι τὸ ὄνομα τοῦ Ἀριστείδου. Οὗτος δὲ εἶπε, Γινώσκεις τὸν Ἀριστείδην; τοῦ δὲ ἀνθρώπου γινώσκειν μὲν οὐ φήσαντος, ἄχθεσθαι δὲ τῇ τοῦ δικαίου προσηγορίᾳ, σιωπήσας ἐνέγραψε τὸ ὄνομα τῷ ὀστράκῳ καὶ ἀπέδωκεν.

8. Τιμόθεος εὐτυχὴς ἐνομίζετο στρατηγὸς εἶναι, καὶ φθονοῦντες αὐτῷ τινες ἐζωγράφουν τὰς πόλεις εἰς κύρτον αὐτομάτως ἐνδυομένας, ἐκείνου καθεύδοντος. Ἔλεγεν οὖν ὁ Τιμόθεος, Εἰ τοσαύτας πόλεις λαμβάνω καθεύδων, τί με οἴεσθε ποιήσειν ἐγρηγορότα;

9. Φωκίων ὁ Μαντείας Ἀθηναίοις γενομένης, ὡς εἷς

6. Οὐ *πείθων*=ἐπειδὴ οὐκ ἔπειθεν· ὡς τῶν Ἑλλ. *διανοουμένων*=ἐπειδὴ οἱ Ἕλλ. διενοοῦντο· σῴζων=ἐν ᾧ σῴζει.

7. Ἀθ. *ὁρισμένων*=ὅτε οἱ Ἀθ. ὡρίσθησαν· *οὐ φήσαντος*=ἐπεὶ οὐκ ἔφησε· *σιωπήσας*=ἐν σιωπῇ (ἰδὲ *ε' ἄσκ.* ζ').

8. *Φθονοῦντες* = ἐπειδὴ ἐφθόνουν, ἕνεκα φθόνου· *ἐκείνου καθεύδοντος*=ἐν ᾧ ἐκεῖνος ἐκάθευδεν· *με ἐγρηγορότα*=ἐὰν ὦ ἐγρηγορώς,

9. Ἐναντιούμενος = ὃς ἐναντιοῦται· *ὅστις ἐστὶν ἀνὴρ*· *μανῶσι, σωφρονῶσιν*· Μακ. *προσβαλλόντων καὶ πορθούντων* = ὅτε οἱ Μακ. προσέβαλλον καὶ ἐπόρθουν.

ἔστιν ἀνὴρ ἐν τῇ πόλει τῶν πάντων ἐναντιούμενος γνώμαις, καὶ τῶν Ἀθηναίων ζητεῖν κελευόντων, ὅστις ἐστί, καὶ βοώντων, Φωκίων ἑαυτὸν ἔφησε τοῦτον εἶναι· μόνῳ γὰρ ἑαυτῷ μηδὲν ἀρέσκειν, ὧν οἱ πολλοὶ πράττουσι καὶ λέγουσιν.

β'. Δημοσθένους τοῦ ῥήτορος εἰπόντος· Ὦ Φωκίων, ἀποκτενοῦσί σε Ἀθηναῖοι, ἐὰν μανῶσι, Ναί, εἶπεν, ἐμὲ μέν, ἂν μανῶσι, σὲ δέ, ἂν σωφρονῶσιν.

γ'. Τῇ Ἀττικῇ τῶν Μακεδόνων προσβαλλόντων καὶ τὴν παραλίαν πορθούντων, ἐξήγαγε Φωκίων τοὺς ἐν ἡλικίᾳ· πολλῶν δὲ συντρεχόντων πρὸς αὐτὸν καὶ παρεγκελευομένων ἐκεῖνον τὸν λόφον καταλαβεῖν καὶ ἐνταῦθα τάξαι τὴν δύναμιν, Ὦ Ἡράκλεις, εἶπεν, ὡς πολλοὺς ὁρῶ στρατηγούς, στρατιώτας δὲ ὀλίγους. Οὐ μὴν ἀλλὰ συμβαλὼν ἐκράτησε καὶ διέφθειρε Νικίωνα τὸν ἄρχοντα τῶν Μακεδόνων.

δ'. Τῆς κύλικος τῷ Φωκίωνι προσφερομένης, ἐρωτηθείς, εἴ τι λέγει πρὸς τὸν υἱόν, Ἐντέλλομαι εἶπε, καὶ παρακαλῶ μηδὲν Ἀθηναίοις μνησικακεῖν.

10. Ἀγησίλαος ἐρωτηθείς, πότερα βελτίων, ἀνδρεία ἢ δικαιοσύνη; Οὐδὲν ἀνδρείας, ἔφη, χρῄζομεν, ἐὰν πάντες ὦμεν δίκαιοι.

11. Πελοπίδας ὁ συστράτηγος Ἐπαμινώνδου, τῶν φίλων λεγόντων αὐτὸν ἀμελεῖν πράγματος ἀναγκαίου, χρημάτων συναγωγῆς, Ἀναγκαῖα τὰ χρήματα νὴ Δία, εἶπε, τούτῳ Νικομήδει, δείξας χωλὸν καὶ ἀνάπηρον ἄνθρωπον.

12. Ἀγησίλαον τὸν μέγαν ἔτι παῖδα ὄντα, γυμνα-

10. *Ποτέρα βελτίων* (*β' ἄσκησις*)· ἐὰν *πάντες ὦμεν δίκαιοι*.

11. *Τὰ χρήματα ἀναγκαῖα* (*β' ἄσκησις*).

12. *Ἐπείσθη καὶ εἶπεν*· *καίπερ ἀποδεδειγμένος*=εἰ καὶ ἀπεδέδεικτο· *ἔφη*· *ἀμώμεθα*· *γενόμενος* = ἐπεὶ ἐγένετο· *χειμῶνος ὄντος*=εἰ καὶ χει-

παιδίας ἀγομένης, ὁ χοροποιὸς ἔστησεν εἰς ἄσημον τόπον· ὁ δὲ ἐπισθη, καίπερ ἤδη βασιλεὺς ἀποδεδειγμένος, καὶ εἶπεν· Εὖγε· δείξω γὰρ ὅτι οὐχ οἱ τόποι τοὺς ἄνδρας ἐντίμους, ἀλλ' οἱ ἄνδρες τοὺς τόπους ἐπιδεικνύουσιν.

β'. Πρὸς τὸν ἐπιθαυμάζοντα τὴν μετριότητα τῆς ἑσθῆτος καὶ τῆς τροφῆς αὐτοῦ καὶ τῶν ἄλλων Λακεδαιμονίων, Ἀντὶ ταύτης, ἔφη, τῆς διαίτης, ὦ ξένε, τὴν ἐλευθερίαν ἀμώμεθα.

γ'. Καὶ πρεσβύτης γενόμενος τῇ αὐτῇ ἀγωγῇ ἐχρῆτο. Πρὸς οὖν τὸν πυθόμενον, διότι, σφοδροῦ χειμῶνος ὄντος, ἀχίτων περιέρχεται, εἰς τοῦτο τῆς ἡλικίας ἥκων, Ἵνα, ἔφη, οἱ νέοι μιμῶνται, παράδειγμα ἔχοντες τοὺς πρεσβυτάτους καὶ ἄρχοντας.

δ'. Φιλοτεκνότατος ὢν διαφερόντως λέγεται ὅτι μικροῖς τοῖς παιδίοις, κάλαμον περιβαίνων ὥσπερ ἵππον, οἷος συνέπαιζεν· ὀφθεὶς δὲ ὑπό τινος τῶν φίλων παρεκάλει μηδενὶ φράζειν, πρὶν καὶ αὐτὸς πατὴρ παίδων γένηται.

ε'. Ἐν τῇ περὶ Μαντίνειαν μάχῃ παρεκελεύσατο τοῖς Λακεδαιμονίοις, τοὺς ἄλλους ἑάσαντας πάντας Ἐπαμινώνδᾳ μάχεσθαι, μόνους λέγων τοὺς ἔμφρονας, ἀνδρείους εἶναι καὶ μόνους νίκης αἰτίους ὑπάρχειν. Εἰ οὖν τοῦτον ἀνέλοιμεν, ῥᾷστα τοὺς ἄλλους ὑποχειρίους ποιήσειν· ἄφρονας γὰρ εἶναι καὶ οὐδενὸς ἀξίους. Ὃ καὶ συνέβη· τῆς γὰρ νίκης σὺν Ἐπαμινώνδᾳ οὔσης καὶ φυγῆς γενομένης, ἐπιστραφέντα αὐτὸν καὶ ἀνακαλούμενον τοὺς ἰδίους, τῶν Λακεδαιμονίων τις καιρίως ἐπάταξε, καὶ πεσόντος, ἀναστρέψαντες ἀπὸ τῆς φυγῆς οἱ σὺν Ἀγησιλάῳ ἐφα-

μῶν ἐστιν· ὀφθεὶς ἐπεὶ ὤφθη· γένηται ἑάσαντας=ἐπειδὰν ἑάσωσι· φανέντων=ἐπειδὴ ἐφάνησαν.

Σημ. β'. Καὶ περὶ τῶν μετοχῶν παραινῶν, κελεύων (ἑδαφ. 6), ἔχων, κελεύων (ἑδαφ. 7), ἐνδυομένας (ἑδ. 8) ἔχοντες (ἑδ. 12) λέγομεν ὅτι καὶ ἐν τῇ σημ. α'.

μιλλον τὴν νίκην ἐποίησαν παρὰ πολὺ μὲν τῶν Θηβαίων χειρόνων, παρὰ πολὺ δὲ τῶν Λακεδαιμονίων ἀμεινόντων φανέντων.

13. Ἄγις διερχόμενος τὰ τῶν Κορινθίων τείχη, καὶ θεασάμενος ὑψηλά τε καὶ ὀχυρὰ ἐπὶ πολύ τε παρατείνοντα, εἶπε, Τίνες, οἳ τὸν τόπον κατοικοῦσι, γυναῖκες;

14. Βρασίδαν ἐπεὶ συνέβη πεσεῖν ἐλευθεροῦντα τοὺς ἐπὶ Θρᾴκης Ἕλληνας, οἱ δὲ πεμφθέντες εἰς Λακεδαίμονα πρέσβεις τῇ μητρὶ αὐτοῦ Ἀργιλεωνίδι προσῆλθον, ἡ μήτηρ πρῶτον μὲν ἠρώτησεν, εἰ καλῶς ὁ Βρασίδας ἐτελεύτησεν· ἐγκωμιαζόντων δὲ τῶν Θρᾳκῶν καὶ λεγόντων, ὡς οὐδεὶς ἄλλος ἐστὶ τοιοῦτος, Ἀγνοεῖτε, εἶπεν ὦ ξένοι· Βρασίδας γὰρ ἦν μὲν ἀνὴρ ἀγαθός, πολλοὶ δ' ἐκείνου κρείσσονες ἐν τῇ Σπάρτῃ.

15. Καλλικρατίδας προθυμούμενος, ὡς ἤκουσε τοῦ μάντεως σημαίνεσθαι διὰ τῶν ἐμπύρων τῷ μὲν στρατῷ νίκην, τῷ δὲ στρατηγοῦντι θάνατον, οὐδὲν καταπλαγεὶς εἶπεν, Οὐ παρ' ἕνα τὰ Σπάρτης· ἀποθανόντος γὰρ ἐμοῦ, οὐδὲν ἡ πατρὶς ἐλαττωθήσεται, ἐξάντος δὲ τοῖς πολεμίοις, ἐλαττωθήσεται. Ἀποδείξας οὖν ἀνθ' ἑαυτοῦ Κλέανδρον ἡγεμόνα ὥρμησεν ἐπὶ τὴν ναυμαχίαν καὶ μαχόμενος τελευτᾷ.

16. Γάϊος Φαβρίκιος πρὸς Πύρρον ἐλθὼν περὶ λύσεως αἰχμαλώτων, χρυσίον τούτου πολὺ διδόντος, οὐκ ἔλαβε·

14. Βρ. ἐλευθεροῦντα=ἐν ᾧ ἠλευθέρου· οὐδεὶς ἄλλος ἐστὶ τοιοῦτος· Βρ. ἦν ἀγαθὸς ἀνήρ· πολλοὶ κρείσσονες *(β' ἄσκ.)*

15. Ὡς ἤκουσε· οὐδὲν καταπλαγεὶς (ἰδὲ ε' ἄσκ. ζ') = ἐν οὐδεμιᾷ καταπλήξει (ἰδὲ καὶ λεξικ. καταπλήττω)· ἐμοῦ ἀποθανόντος, εἴξαντος =ἐὰν ἐγὼ ἀποθάνω, εἴξω.

16. Τούτου διδόντος = ἐν ᾧ οὗτος ἐδίδου· ἀγνοοῦντι = ἐν ἀγνοίᾳ· ῥήξαντα=ἐπειδὰν ῥήξῃ· ἐξέπληξε.—Τοῦτό ἐστι λυσιτελές· ἐὰν Ἡπ. γνῶσιν, ἐθελήσουσιν.

τῇ δ' ὑστεραίᾳ τὸν μέγιστον ἐλέφαντα Πύρρου παρακελεύσαντος ἐξόπισθεν ἀγνοοῦντι τῷ Φαβρικίῳ ῥῆξαντα φωνὴν ἐπιφανῆναι, καὶ τούτου γενομένου, ἐπιστραφεὶς ὁ Φαβρίκιος καὶ μειδιάσας, Ἐμὲ μέν, εἶπεν, οὔτε τὸ χρυσίον χθὲς οὔτε σήμερον τὸ θηρίον ἐξέπληξεν.

β'. Τοῦ Πύρρου παρακαλοῦντος αὐτὸν εἶναι σὺν αὐτῷ καὶ τὴν μετ' αὐτὸν ἔχειν ἡγεμονίαν. Οὐδὲ σοί, ἔφη, τοῦτο λυσιτελές ἐστιν· Ἱπειρῶται γάρ, ἐὰν ἀμφοτέρους γνῶσιν ἡμᾶς, ὑπ' ἐμοῦ βασιλεύεσθαι μᾶλλον ἢ σοῦ ἐθελήσουσιν.

17. Λυκοῦργος ὁ νομοθέτης βουλόμενος δεῖξαι, ὅσον συμβάλλεται εἰς ἀρετὴν ἡ ἄσκησις, ἀνέθρεψε δύο σκύλακας, τοῦ αὐτοῦ πατρὸς καὶ μητρὸς γενομένους. Καὶ τὸν μὲν εἴθισε περὶ λιχνείας, οἵκοι ἐάσας, τὸν δ' ἐπαγόμενος ἤσκησε περὶ κυνηγέσια. Ἔπειτα ἀγαγὼν εἰς τὴν ἐκκλησίαν ἔθηκεν ἀκάνθας καὶ λιχνείας τινάς, ἄφηκε δὲ λαγών. Ἐπὶ τὰ συνήθη δ' ἑκατέρου ὁρμήσαντος καὶ θατέρου τὸν λαγὼν χειρωταμένου, εἶπεν, Ὁρᾶτε, ὦ πολῖται, ὅτι ταὐτοῦ γένους ὑπάρχοντες, ἐν τῇ τοῦ βίου ἀγωγῇ παρὰ πολὺ ἀλλήλων διάφοροι ἀπέβησαν, καὶ ποιητικωτέρα τῆς φύσεως ἡ ἄσκησις πρὸς τὰ καλὰ τυγχάνει. Τινὲς δέ φασιν, ὡς οὐ παρῆγε σκύλακας, οἳ ἐκ τῶν αὐτῶν γεγονότες ἐτύγχανον, ἀλλ' ὁ μὲν ἐξ οἰκουρῶν ἦν, ἕτερος δὲ κυνηγετῶν· κἄπειτα τὸν μὲν ἐκ χείρονος γένους πρὸς τὰ κυνηγέσια ἤσκησεν, τὸν δὲ ἐκ τοῦ ἀμείνονος περὶ λιχνείας μόνον ἤσκησεν· εἶθ' ἑκατέρου ἐφ' ἃ εἴθιστο ὁρμήσαντος, φανερὸν

17. *Ὅσον ἄσκησις συμβάλλεται· γενομένους* = οἳ ἐγένοντο· *ἐάσας* = ἐπεὶ εἴασεν· *ἐπαγόμενος*=ἐν ᾧ ἐπήγετο· *ἑκατέρου ὁρμήσαντος, θατέρου χειρωσαμένου*=ἐπεὶ ἑκάτερος ὥρμησεν, ὁ ἕτερος ἐχειρώσατο. *Ὑπάρχοντες* = εἰ καὶ ὑπάρχουσιν· *ἀνέβησαν· τινὲς φασιν· ἢ εὐγένεια καὶ τὸ ἀφ' Ἡρ.* εἶναι (=ἡ ἀφ' Ἡρ. καταγωγὴ) *ὀνίνησιν· ὅπως μή τινες λαθῶσι, μήτε σπουδάζονται.*

ποιήσας, ὅσον ἡ ἀγωγὴ πρὸς τὰ ἀμείνω καὶ χείρω συλλαμβάνεται, εἶπεν, Οὐκοῦν καὶ ὑμᾶς, ὦ πολῖται, οὐδὲν ἡ παρὰ τοῖς πολλοῖς θαυμαζομένη εὐγένεια καὶ τὸ ἀφ' Ἡρακλέους εἶναι ὀνίνησιν, εἰ μὴ πράττομεν, δι' ἃ ἐκεῖνος ἁπάντων ἀνθρώπων ἐνδοξότατος καὶ εὐγενέστατος ἐφάνη, ἀσκούμενοι καὶ μανθάνοντες καλὰ δι' ὅλου τοῦ βίου.

β'. Πυνθανομένου τινός, διατί τὰς κόρας ἐνομοθέτησεν ἀπροίκους ἐκδίδοσθαι, Ὅπως, ἔφη, μήτε δι' ἔνδειαν ἄγαμοί τινες ἐαθῶσι, μήτε διὰ περιουσίαν σπουδάζωνται, ἕκαστος δὲ εἰς τὸν τρόπον τῆς παιδὸς ἀφορῶν ἀρετῇ τὴν αἵρεσιν ποιῶνται.

18. Σωκράτης. Τὸ ἀόργητον ἀνδρὸς ἐστι σοφοῦ. Σωκράτης, λακτίσαντος αὐτὸν νεανίσκου θρασέος μάλα καὶ βδελυροῦ, ὁρῶν τοὺς ἀμφ' αὐτὸν ἀγανακτοῦντας καὶ σφαδάζοντας, ὡς καὶ διώκειν αὐτὸν ἐθέλειν, Ἆρα, ἔφησε, καὶ εἴ με ὄνος ἐλάκτισεν, ἀντιλακτίσαι τοῦτον ἠξιώσατε ἄν;

19. Ἀπελλῆς ὁ ζωγράφος, Μεγαβύζου παρακαθίσαντος αὐτῷ καὶ περὶ γραμμῆς τι καὶ σκιᾶς βουλομένου λαλεῖν, Ὁρᾷς, ἔφη, τὰ παιδάρια ταυτὶ τὰ τὴν μηλίδα τρίβοντα; πάνυ σοι προσέχε τὸν νοῦν σιωπῶντι καὶ τὴν πορφύραν ἐθαύμαζε καὶ τὰ χρυσία· νῦν δέ σου καταγελᾷ λαλεῖν ἀξιοῦντος περὶ ὧν οὐ μεμάθηκας.

18. *Τὸ ἀόργητον ἐστιν ἀνδρὸς σοφοῦ* (ἰδὲ τὸ ῥ. *εἰμὶ* ἐν τῷ Λεξικῷ) *νεαν, λακτίσαντος*=ἐπεὶ νεανίσκος ἐλάκτισεν· *ὁρῶν*=ἐπειδὴ ἑώρα· Τὰς μετοχὰς *ἀγανακτοῦντας, σφαδάζοντας* ἰδὲ ἐν τῷ Λεξ. ῥημ. ὁρῶ.

Προσθήκη εἰς τὴν α' *ἄσκησιν.* Τὸ ὑποκείμενον, ὅταν ἦναι γένους οὐδετέρου καὶ ἀριθμοῦ πληθυντικοῦ, φέρεται καὶ πρὸς ῥῆμα ἑνικοῦ ἀριθμοῦ, οἷον· *τὰ παιδάρια προσεῖχεν, ἐθαύμαζε, καταγελᾷ* (ἀλλὰ καὶ *προσείχετε καὶ ἐθαύμαζον καὶ καταγελῶσιν*).

20. Ἀδείμαντος. Ἀδειμάντου ναυμαχεῖν μὴ τολμῶντος, εἰπόντος πρὸς τὸν Θεμιστοκλέα, παρακαλοῦντα τοὺς Ἕλληνας καὶ προτρέποντα, Ὦ Θεμιστόκλεις, τοὺς ἐν τοῖς ἀγῶσι προεξαιστερμένους μαστιγοῦσιν ἀεί, Ναί, εἶπεν, ὦ Ἀδείμαντε, τοὺς δὲ λειπομένους οὐ στεφανοῦσιν.

21. Εὐρυβιάδης. Εὐρυβιάδου τὴν βακτηρίαν ἐπαραμένου ὡς παταξαντος τὸν Θεμιστοκλέα, εἶπεν οὗτος, Πάταξον μέν, ἄκουσον δέ.

22. Πομπήϊος. Ἰατρὸς Πομπηίῳ νοσοῦντι καὶ κακῶς ἔχοντι πρὸς τὰ σιτία κίχλην προσέταξε λαβεῖν. Ὡς δὲ ζητοῦντες οὐχ εὗρον ὠνίον (ἦν γὰρ παρ' ὥραν), ἔφη δέ τις εὑρεθήσεσθαι παρα Λευκόλλῳ δι' ἔτους τρεφομένας, Εἶτα, εἶπεν, εἰ μὴ Λεύκολλος ἐτύρα, Πομπήϊος οὐκ ἂν ἐβίω ; Καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν ἔλαβέ τι τῶν εὐπορίστων.

23. Ἀλκιβιάδης ἔτι μικρὸς ὢν ἔπαιζεν ἀστραγάλοις ἐν στενωπῷ. Τῆς δὲ βολῆς καθηκούσης εἰς αὐτόν, ἅμαξα φορτίων ἐπῆει. Πρῶτον μὲν οὖν ἐκέλευε περιμεῖναι τὸν ἄγοντα τὸ ζεῦγος· ὑπέπιπτε γὰρ ἡ βολὴ τῇ παρόδῳ τῆς ἁμάξης· μὴ πειθομένου δ' ἐκείνου, ἀλλ' ἐπάγοντος, οἱ μὲν ἄλλοι παῖδες διέσχον· ὁ δ' Ἀλκιβιάδης καταβαλὼν ἐπὶ στόμα πρὸ τοῦ ζεύγους καὶ παρατείνας ἑαυτὸν ἐκέλευεν οὕτως, εἰ βούλεται, διελθεῖν, ὥστε τὸν ἄνθρωπον ἀνακρουσται τὸ ζεῦγος ὀπίσω δείσαντα.

20. Ἀδ. μὴ τολμῶντος=ἐπειδὴ Ἀδ. οὐκ ἐτόλμα· *εἰπόντος* = ἐπεὶ εἶπε· *παρακαλοῦντα*=ὃς παρεκάλει.

21. Εὐρ. ἐπαραμένου ὡς πατάξαντος = ἐπεὶ Εὐρυβιάδης ἐπήρατο, ἵνα πατάξειεν.

22. Πομπ. νοσοῦντι καὶ κακῶς ἔχοντι=ἐπειδὴ Πομπήϊος ἐνόσει καὶ κακῶς εἶχεν· *ὡς οὐχ εὗρον.*

23. Ὡ=ὅτε ἦν· *ἐπῆει ἐκέλευε· ἐκείνου μὴ πειθομένου, ἀλλ' ἐπάγοντος*=ἐπειδὴ ἐκεῖνος οὐκ ἐπείθετο, *ἀλλ' ἐπῆγεν· τὸν ἄνθρ. δείσαντα*=ἐπειδὴ ὁ ἄνθρ. ἔδεισεν, ἕνεκα φόβου.

24. Γυνὴ Λάκαινα. Σεμνυνομένης γυναικός τινος Ἰωνικῆς ἐπί τινι τῶν ἑαυτῆς ὑρασμάτων ὄντι πολυτελεῖ, Λάκαινα ἐπιδείξασα τοὺς τέσσαρας υἱοὺς ὄντας κοσμιωτάτους, Τοιαῦτα, ἔφη, δεῖ εἶναι τὰ τῆς καλῆς κἀγαθῆς γυναικὸς ἔργα καὶ ἐπὶ τούτοις ἐπαίρεσθαι καὶ μεγαλαυχεῖν.

25. Δημήτριος ὁ Ἀντιγόνου. Ἀποστάντων τῶν Ἀθηναίων ἑλὼν τὴν πόλιν Δημήτριος ὁ Ἀντιγόνου κακῶς ἤδη ἔχουσαν ὑπὸ σιτοδείας, εὐθὺς ἐκκλησίας αὐτῷ συναχθείσης, ἐπέδωκεν δωρεὰν σῖτον αὐτοῖς. Δημηγορῶν δὲ περὶ τούτων ἐβαρβάρισε· τῶν δὲ καθημένων τινὸς παρφωνήσαντος, ὡς ἔδει τὸ ῥῆμα λεχθῆναι, Οὐκοῦν ἔφη, καὶ τῆς ἐπανορθώσεως ταύτης ἄλλους ὑμῖν πεντακισχιλίους ἐπιδίδωμι μεδίμνους.

26. Ἀντίοχος ὁ στρατεύσας δεύτερον ἐπὶ Πάρθους, ἔν τινι κυνηγεσίῳ καὶ διωγμῷ τῶν φίλων καὶ θεραπόντων ἀποπλανηθείς, εἰς ἔπαυλιν πενήτων ἀνθρώπων εἰσῆλθεν ἀγνοούμενος, καὶ παρὰ τὸ δεῖπνον ἐμβαλὼν λόγον περὶ τοῦ βασιλέως ἤκουσεν, ὅτι τἄλλα χρηστός ἐστι, φίλοις δὲ μοχθηροῖς ἐπιτρέπων τὰ πλεῖστα παρορᾷ καὶ πολλάκις ἀμελεῖ τῶν ἀναγκαίων διὰ τὸ φιλόθηρος εἶναι· Τότε μὲν οὖν ὁ Ἀντίοχος ἐσιώπησεν, ἅμα δὲ τῇ ἡμέρᾳ, τῶν δορυφόρων παραγενομένων ἐπὶ τὴν ἔπαυλιν, φανερὸς γενόμενος, προσφερομένης τῆς πορφύρας αὐτῷ καὶ τοῦ διαδήματος. Ἀλλ' ἀφ' ἧς, εἶπεν ἡμέρας ὑμᾶς ἀνείληφα πρῶτον ἐχθὲς ἀληθινῶν λόγων ἤκουσα περὶ ἐμαυτοῦ.

27. Θεμιστοκλῆς ἐρωτηθείς, πρότερον Ἀχιλλεὺς ἐβούλετ' ἂν ἢ Ὅμηρος εἶναι; Σὺ δ' αὐτός, ἔφη, πότερον ἤθελες εἶναι, ὁ νικῶν ἐν Ὀλυμπίᾳ ἢ ὁ κηρύττων τοὺς νικῶντας ;

24. Ὄντι=ὃ ἦν.

25. Ὡς λεχθῆναι ἔδει.

26. Ἀγνούμενος. Ἡ μετοχὴ αὕτη εἶναι ὁμοία πρὸς τὴν μετοχὴν *διαπορούμενος* ἐν τῷ ῥήματι ἤκω (ἰδὲ ἥκω)· ἐστι χρηστὸς (ποῖον ἐντεῦθα τὸ ὑποκείμενον.

ΠΟΛΥΑΙΝΟΥ

Ὁ Πολύαινος, Μακεδὼν τὴν πατρίδα, ἤκμασε περὶ τὸν β΄ μ. Χ. αἰῶνα. Ἐν Ῥώμῃ ζῶν ἐπεδόθη εἰς τὰ στρατιωτικὰ καὶ δὴ καὶ ἐξέδωκεν ἐπὶ τῆς βασιλείας Μάρκου Αὐρηλίου συλλογὴν πολύτιμον στρατηγικῶν ἐν βιβλίοις ὀκτώ, ἐπιγεγραμμένην *Στρατηγήματα* ἢ *Στρατηγηματικά*. Ἡ συλλογὴ αὕτη περιέχει πρὸς τούτοις καὶ πλεῖστα ὅσα παραδείγματα φρονήσεως, δόλου καὶ πονηρίας ἔν τε τῷ ἰδιωτικῷ βίῳ καὶ τῷ πολιτικῷ.

ΣΤΡΑΤΗΓΗΜΑΤΑ

1. Ἀκούπις. Λακεδαιμονίων Τεγέαν προδοσίᾳ νύκτωρ καταλαβόντων, τοῖς ἰδίοις ὁπλίταις ἔδωκε σύνθημα, κτείνειν τοὺς τὸ σύνθημα ἐρωτῶντας. Οἱ μὲν δὴ Ἀρκάδες οὐκ ἐπηρώτων· οἱ δὲ Σπαρτιᾶται, ὡς ἐν νυκτὶ ἀγνοοῦντες καὶ διὰ τοῦτο ἐρωτῶντες, ὑπὸ τῶν Ἀργείων ἀνῃροῦντο (Βιβλ. Α΄ κεφ. ια΄).

Σημ. Καθ' ὁδηγίαν τοῦ διδασκάλου ὁ μαθητὴς ἐπαναλαμβάνων ἤδη πάσας τὰς μέχρι τοῦδε ἀσκήσεις θὰ ζητῇ καὶ εὑρίσκῃ α΄) τὸ ὑποκείμενον τῶν ῥημάτων καὶ μετοχῶν, πρὸς δὲ καὶ ἂν ὑπάρχῃ πρότασις ἔχουσα ὑποκείμενον, συνδετικὸν καὶ κατηγορούμενον· β΄) τὰς κυρίας καὶ δευτερευούσας προτάσεις μετὰ τῶν ὀνομάτων τῶν τελευταίων· γ΄) τὸ εἶδος τῶν μετοχῶν, ἀναλύων αὐτὰς διὰ τοῦ ἁρμοδίου συνδέσμου. Εἰς τὴν ἀνάλυσιν ταύτην θὰ ἔχῃ βοηθὸν καὶ τὸ Λεξικόν.

2. Θεσσαλὸς Βοιωτῶν τῶν Ἄρνην οἰκούντων Θεσσαλοῖς πολεμούντων τέχνῃ ἐκράτησεν ἄνευ μάχης. Νύκτα παρφυλαξας ἀσέληνον καὶ σκοτεινήν, ἐκέλευσε τοὺς στρατιώτας διασπαρέντας ἀνὰ τὸ πεδίον ἄλλον ἀλλαχοῦ κατὰ κορυφὰς τῶν ὀρῶν δᾷδας καὶ λύχνους ἀνάπτειν καὶ μετεωρίζειν καὶ πάλιν αὖ καθαιρεῖν. Οἱ Βοιωτοὶ τὴν ὄψιν τοῦ πυρός, ὥσπερ ἀστραπὰς κυκλουμένας ἰδόντες ἐδεδίζαντο καὶ πρὸς ἱκεσίαν τῶν Θεσσαλῶν ἐτράποντο (Βιβλ. Α΄ κεφ. ιϐ΄).

3. Κόδρος. Ἀθηναίοις καὶ Πελοποννησίοις πόλεμος ἦν. Ὁ θεὸς ἔχρησε νικᾶν Ἀθηναίους, εἰ ὁ βασιλεὺς αὐτῶν ἀποθάνοι πρὸς ἀνδρὸς Πελοποννησίου. Κόδρος ἦν Ἀθηναίων βασιλεύς. Οἱ πολέμιοι, τὸ λόγιον εἰδότες, κοινὸν αὐτοῖς ἦν παραγγελμα (ἀντὶ τοῦ εἰπεῖν: Τοῖς πολεμίοις τὸ λόγιον εἰδόσι, κοινὸν ἦν παράγγελμα) ἐν ταῖς μάχαις ἀπέχεσθαι Κόδρου. Ὁ δέ, ἦν γὰρ ἑσπέρα, σχῆμα φρυγανιστῆρος λαβών, τοῦ χάρακος προελθών, ἔτεμνε τὴν ὕλην. Ἔτυχον δὲ καὶ Πελοποννήσιοι ἄνδρες κατὰ φρυγανισμὸν ἥκοντες. Ἀψιμαχεῖ τούτοις Κόδρος, ὥστε καὶ τὸ δρέπανον ἐπ' αὐτοὺς ἀνατεινάμενος ἔτρωσεν. Οἱ δὲ φθάσαντες κατακαίνουσιν αὐτὸν τοῖς δρεπάνοις, καὶ γανύμενοι ἀπηλλάγησαν, ὡς ἀνδραγάθημα δὲ πεποιηκότες. Παιωνίσαντες Ἀθηναῖοι θυρῷ καὶ ὁρμῇ πλείονι προῆσαν εἰς μάχην. Καὶ πρὸ τῆς μάχης κήρυκα πέμψαντες ᾔτησαν ἀναίρεσιν τοῦ βασιλέως. Πελοποννήσιοι μὲν οὖν συνέντες τοῦ γεγονότος ἔφυγον· Ἀθηναῖοι δὲ νικήσαντες Κόδρῳ τιμὰς ἀνεστήσαντο τῶν ἡρώων, ὅτι περ τοὺς πολεμίους ἐκουσίῳ θανάτῳ κατεστρατήγησεν (Βιβλ. Β΄ κεφ. ιη΄.)

4. Σόλων. Ἦν πόλεμος Ἀθηναίοις καὶ Μεγαρεῦσι Σαλαμῖνος πέρι. Σόλων ἔπλευσεν ἐπὶ Κωλιάδος, ἔνθα αἱ γυναῖκες Δήμητρι ἑορτὴν ἐτέλουν, ἐπ' αὐτῇ τῇ θαλάσσῃ. Αὐτόμολον

ἐκπέμπει Σόλων ἀγγελοῦντα Μεγαρεῦσιν «Ἥν ἐπὶ Κωλιάδος πλεύσητε, τὰς Ἀθηναίων γυναῖκας οἰήσητε χορευούσας, ἀλλὰ μὴ μέλλετε». Μεγαρεῖς τῇ ἀπάτῃ πείθονται. Οἱ μὲν δὴ ἐπέπλεον· Σόλων δὲ τὰς μὲν γυναῖκας ἀναχωρῆσαι κελεύει, μειράκια δὲ ἀγένεια ταῖς τῶν γυναικῶν ἐσθῆσι κεκοσμημένα, στερράνοις περικείμενα, κρυπτοῖς ἐγχειριδίοις ὡπλισμένα, παρὰ τὴν αὐλὸν παίζειν καὶ χορεύειν ἔταξεν. Οἱ δὲ Μεγαρεῖς τῇ ὄψει τῶν ἀγενείων καὶ τῇ ἐσθῆτι τῶν γυναικῶν ἐξαπατώμενοι, τῶν νέων ἀποβάντες ἐπειρῶντο συλλαμβάνειν οἷα δὴ γυναῖκας. Οἱ δὲ σπασάμενοι τὰ ἐγχειρίδια, μάλα δὴ ἀντὶ γυναικῶν ἄνδρες ἐφάνησαν, τοὺς πολεμίους ἔκτειναν, τῶν νεῶν ἐπέβησαν, τῆς Σαλαμῖνος ἐκράτησαν (Βιβλ. Α'. κεφ. κ').

5. Πεισίστρατος Μεγακλεῖ διεπολιτεύετο· καὶ ἦν ὁ Μεγακλῆς ὑπὲρ τῶν πλουσίων τεταγμένος, ὁ δὲ Πεισίστρατος ὑπὲρ τῶν πενήτων. Καὶ δήποτε ἐν ἐκκλησίᾳ πολλὰ τῷ Μεγακλεῖ λοιδορησάμενος καὶ ἀπειλήσας ἀπηλλάγη· κατατρώσας δ' ἑαυτὸν οὐ καιρίοις τραύμασι, τῆς ὑστεραίας προῆλθεν εἰς τὴν ἀγορὰν δεικνύων τοῖς Ἀθηναίοις ταῦτα. Ὁ δὲ δῆμος ὑπεργανάκτησεν, ὡς ὁ κηδόμενος αὐτῶν δι' αὐτοὺς ταῦτα εἴη παθών, καὶ εἰς φυλακὴν τοῦ σώματος ἔδωκαν αὐτῷ τριακοσίους φύλακας, οἷς κορυνηφόροις χρησάμενος αὐτός τε τύραννος Ἀθηναίων ἐγένετο καὶ τοῖς παισὶ τὴν τυραννίδα κατέλιπεν (Βιβλ. Α' κεφ. κα').

6. Ἱστιαῖος ὁ Μιλήσιος ἐν Πέρσαις διάγων παρὰ Δαρείῳ βασιλεῖ, βουλόμενος Ἰωνίαν ἀποστῆσαι, γράμματα πέμπειν οὐ θαρρῶν διὰ τοὺς φύλακας τῶν ὁδῶν, οἰκέτην πιστὸν ἀποξύρας τὰς τρίχας, στίγματα ἐνέγραψε τῇ κεφαλῇ «*Ἱστιαῖος Ἀρισταγόρᾳ· Ἰωνίαν ἀπόστησον*», καὶ τοῖς στίγ-

μασιν ἐπέθρεψε τὰς τρίχας. Τοῦτον τὸν τρόπον λαθὼν τοὺς φύλακας ὁ στιγματοφόρος, κατοβὰς ἐπὶ θάλασσαν, ἀποξυράμενος ἔδειξεν Ἀρισταγόρᾳ τὰ στίγματα. Ὁ δὲ ἀναγνοὺς τὴν Ἰωνίαν ἀπέστησεν (Βιβλ. Α' κεφ. κδ').

7. Θεμιστοκλῆς ἐναυλόχει περὶ Σαλαμῖνα· τοῖς Ἕλλησιν ἐδόκει φεύγειν, Θεμιστοκλῆς δὲ ναυμαχεῖν ἐν στενῇ θαλάσσῃ. Ὡς δὲ μένειν οὐκ ἔπειθεν, ἔχων παιδαγωγὸν τοῖν παιδοῖν τὸν εὐνοῦχον Σίκινον, πέμπει νύκτωρ ὡς βασιλέα, μηνύσοντα κατ' εὔνοιαν δῆθεν ὅτι «*Ἀποδιδράσκει τὸ Ἑλληνικὸν· ἀλλὰ ναυμάχει*». Πείθεται ὁ βασιλεὺς καὶ ναυμαχεῖ· καὶ τὸ πλῆθος τῶν τριήρων συνετρίψεν ἡ στενὴ θαλασσα. Οἱ δὲ Ἕλληνες ἄκοντες ἐνίκησαν τῇ σοφίᾳ τοῦ στρατηγοῦ. (Βιβλ. Α' κεφ. λ').

β'. Ἀθηναῖοι τὰ τείχη τοῦ ἄστεος ἤγειραν· Λάκωνες ἐφθόνουν· ἠπάτησεν αὐτοὺς ὁ Θεμιστοκλῆς. Ὁ δὲ τρόπος τῆς ἀπάτης ἦν οὗτος. Ἀφίκετο εἰς Λακεδαίμονα πρεσβευτὴς καὶ ἦν πρὸς τοὺς Λάκωνας ἔξαρνος, ἢ μὴν οὐκ ἐγερεῖσθαι τὸ τεῖχος· «ἀεὶ δὲ ἀπιστεῖτε», ἔφη, «τοὺς ἀρίστους ἐκπέμψατε κατασκόπους, ἐμὲ κατασχόντες». Οἱ μὲν ἔπεμψαν· Θεμιστοκλῆς δὲ κρύφα πέμψας ἐνετείλατο Ἀθηναίοις, κατέχειν τοὺς κατασκόπους, ἕστ' ἂν ἐγείρωσι τὸ τεῖχος, ἐπειδὰν δ' ἐγείρωσι, μὴ πρότερον αὐτοὺς ἀποπέμπειν, εἰ μὴ πρόσθεν αὐτὸν ἀπολάβοιεν. Καὶ ταῦτα οὕτως ἐγένετο. Ἠγέρθη τὸ τεῖχος καὶ ἐπανῆλθε Θεμιστοκλῆς· ἀπεδόθησαν οἱ κατάσκοποι, ἐτειχίσθησαν Ἀθηναῖοι, Λακεδαιμονίων ἀκόντων (Βιβλ. Α' κεφ. λ').

γ'. Θεμιστοκλῆς φεύγων Ἀθηναίους, νεὼς ἐπιβάς, ἀγνοούμενος ἐκομίζετο τὴν ἐπ' Ἰωνίας. Ἐπεὶ δὲ ἡ ναῦς ὑπὸ χειμῶνος ἐπὶ Νάξον κατεφέρετο, πολιορκουμένην ὑπ' Ἀθηναίων, φοβηθεὶς ἔφρασε τῷ ναυκλήρῳ, ὅστις εἴη, καὶ εἰ μὴ σώσειεν

αὐτόν, καρτερεῖν ἠπείλησεν Ἀθηναίους, ὡς χρήμασι πεισθείς αὐτὸν ἄγοι· «ὅπως οὖν ἀμφότεροι σωθείημεν, μηδεὶς ἐκβαινέτω τῆς νεώς». Ὁ ναύκληρος φοβηθεὶς οὔτε ἐκβῆναι συνεχώρησε, καὶ διὰ τάχους ἀναχθῆναι ἔσπευσεν (Βιβλ. Α΄ κεφ. λ΄).

8. Ἀλκιβιάδης, πολιορκούντων τὰς Ἀθήνας τῶν Λακεδαιμονίων, βουλόμενος τοὺς φύλακας τοῦ ἄστεος καὶ τοῦ Πειραιῶς καὶ τῶν σκελῶν τῶν ἄχρι θαλάσσης ἀγρύπνους περὶ τὴν φυλακὴν κατασκευάσαι, προηγόρευσεν, ὡς αὐτὸς ἀπὸ τῆς ἀκροπόλεως νύκτωρ τρὶς ἀνασχήσοι τὸν λαμπτῆρα· ὃς δ' ἂν μὴ ἀντανάσχῃ, ὡς φυλακὴν ἐκλιπὼν κολασθήσεται. Οὕτω δὴ πάντες ἀγρυπνοῦντες ἐφύλαττον τὴν ἀκρόπολιν, ἵν', αἴροντος τοῦ στρατηγοῦ τὸ πῦρ, ἀντάραι δύναιντο, σημαίνοντες ὡς ἐγρηγορότες φυλάττοιεν (Βιβλ. Α΄ κεφ. μ΄).

9. Λύσανδρος τὰς Ἀθήνας κατασκάπτειν βουλομένων τῶν Λακεδαιμονίων καὶ τῶν συμμάχων, ἔφη μηδαμῶς συμφέρειν· τὴν γὰρ Θηβαίων πόλιν, ἐγγὺς οἰκουμένην, ἰσχυροτέραν καὶ μείζονα κατ' αὐτῶν γενήσεσθαι ἐὰν δὲ διὰ τυράννων κατέχωσι τὰς Ἀθήνας, ἐγγύθεν παραφυλάξειν τοὺς Θηβαίους καὶ διὰ παντὸς ἕξειν ὑποδεεστέρους. Ἄριστα λέγειν δόξας Λύσανδρος ἔπεισε μὴ κατασκάψαι τὰς Ἀθήνας. (Βιβλ. Α΄ κεφ. με΄).

10. Πελοπίδας ἐν Θετταλίᾳ ποταμὸν διαβῆναι μὴ δυνάμενος, ἐπιειμένων πολεμίων, στρατοπεδεύσας τοῦ ποταμοῦ πρόσθεν, χάρακα περιεβάλετο. Πολλὴν δ' ὕλην τεμὼν ἀναπαύσας τοὺς στρατιώτας, νυκτὶ μέσῃ τὸν χάρακα κατέφλεξε. Τοῦ δὲ πυρὸς ἐπὶ μέγα αἰρομένου πανταχόθεν, οἱ μὲν πολέμιοι διώκειν ἐκωλύοντο· οἱ δὲ ἀμφὶ Πελοπίδαν ἀσφαλῶς τὸν ποταμὸν διῆλθον. (Βιβλ. Α΄ κεφ. δ΄).

11. Ἰφικράτης ἐπὶ τοὺς πολεμίους προῆγε τὴν φάλαγγα. Τῶν στρατιωτῶν τινες ὀκνηροὶ καὶ δειλοὶ καὶ ὠχριῶντες εἶποντο. Τούτους ἰδὼν Ἰφικράτης, κατὰ βραχὺ προελθών, ἐκήρυξε· «τῆς στρατείας ἄφνω γενομένης, εἴ τις ἀπολέλοιπέ τι, ἀναστρεφέτω, καὶ παρασκευασάμενος καλῶς ἐπανηκέτω». Ἤσθησαν οἱ δειλοὶ καὶ αὐτίκα ἀνέστρεψαν. Ὁ δὲ Ἰφικράτης οὐκ ἀναμείνας, «Νῦν», ἔφη, «ἄνδρες τῶν ἀνδραπόδων ἀπηλλαγμένων, ἡμεῖς τοῖς πολεμίοις συνάπτωμεν, ἵνα καὶ μόνοι τοὺς καρποὺς τῆς ἀνδραγαθίας λάβωμεν». Πολλῷ μᾶλλον οἱ στρατιῶται ἐθάρρησαν καὶ συμβαλόντες ἄνευ τῶν δειλῶν ἐνίκησαν (Βιβλ. Β΄ κεφ. θ΄).

12. Φωκίων Ἀθηναίους ὡρμηκότας στρατεύειν ἐπὶ Βοιωτοὺς ἐκώλυεν· οἱ δὲ πολλῇ ὁρμῇ χρώμενοι τὸν πόλεμον ἐψηφίσαντο καὶ Φωκίωνα στρατηγόν. Ὁ οὖν Φωκίων τὸν κήρυκα ἀνειπεῖν ἐκέλευσεν· «Ὅσοι Ἀθηναίων μέχρι ἑξήκοντα ἐτῶν ἀπὸ ἡβῆς, πέντε ἡμερῶν σιτία λαβόντες εὐθὺς ἀπὸ τῆς ἐκκλησίας ἔπεσθέ μοι». Θόρυβος ἦν πολύς. Οἱ πρεσβύτεροι καὶ μᾶλλον ἐβδόμαι, ἀνεπήδων, ἠγανάκτουν. Τότε δὴ Φωκίων «οὐδέν», ἔφη, «δεινὸν ὑπομενεῖτε· κἀγὼ γὰρ ὁ στρατηγός, ὀγδοηκοστὸν ἔτος ἔχων, μεθ' ὑμῶν κείσομαι». Τοῦτο ἀκούσαντες Ἀθηναῖοι τῆς ὁρμῆς τῆς ἐπὶ τὸν πόλεμον ἐπαύσαντο καὶ μετεβάλοντο (Βιβλ. Γ΄ κεφ. ιβ΄).

13. Φίλιππος ἐπὶ τὴν Ἀμφισσέων ἐστράτευεν. Ἀθηναῖοι καὶ Θηβαῖοι τὰ στενὰ προκατελάβοντο, καὶ ἦν ἡ δίοδος ἀμήχανος. Ἐξαπατᾷ τοὺς πολεμίους Φίλιππος, ἐπιστολὴν πεπλασμένην Ἀντιπάτρῳ πέμψας εἰς Μακεδονίαν, ὡς τὴν μὲν στρατείαν τὴν ἐπ' Ἀμφισσεῖς ἀναβάλλοιτο, σπεύδει δὲ εἰς Θρᾴκην, πεπυσμένος τοὺς ἐκεῖ νεωτερίζειν. Ὁ γραμματοφόρος διῄει διὰ τῶν στενῶν. Οἱ στρατηγοὶ Χάρης καὶ Πρόξενος αἱ-

ροῦσιν αὐτὸν καὶ τὴν ἐπιστολὴν ἀναγνόντες πιστεύουσι τοῖς γεγραμμένοις καὶ τὴν φυλακὴν τῶν στενῶν ἀπολείπουσιν. Φίλιππος δὲ λαβόμενος ἐρημίας ἀφυλάκτως διεπέμψατο, καὶ τοὺς στρατηγοὺς ἀναστρέψαντας ἐνίκησε καὶ τῆς Ἀμφίσσης ἐκράτησεν (Βιβλ. Δ΄ κεφ. β΄).

14. Ἀλέξανδρος Δαρείῳ παρατάσσεσθαι μέλλων, παράγγελμα τοῖς Μακεδόσιν ἔδωκεν· «Ἂν ἐγγὺς γένησθε τῶν Περσῶν, εἰς γόνυ κλίναντες, ταῖς χερσὶν διατρίβετε τὴν γῆν· ἢν δὲ ἡ σάλπιγξ ὑποσημήνῃ, τότε δὴ ἀναστάντες θυμῷ καὶ ῥώμῃ τοῖς πολεμίοις ἐμβάλλετε». Οἱ μὲν δὴ Μακεδόνες οὕτως ἐποίησαν· οἱ δὲ Πέρσαι σχῆμα προσκυνήσεως ἰδόντες τὴν πρὸς τὸν πόλεμον ὁρμὴν ἐξέλυσαν καὶ ταῖς γνώμαις ἐγένοντο μαλακώτεροι. Δαρεῖος δ' ἐκυδρεῦτο καὶ φαιδρὸς ἦν, ὡς ἁμαχεὶ κρατῶν. Οἱ μακεδόνες ὑπὸ τῷ συνθήματι τῆς σάλπιγγος ἀναπηδήσαντες, ῥυμηδὸν ἐμβάλλουσι τοῖς πολεμίοις καὶ τὴν φάλαγγα ῥήξαντες εἰς φυγὴν ἐτρέψαντο (Βιβλ. Δ΄ κεφ. γ΄).

β΄. Ἀλέξανδρος τὴν ἄνυδρον ὁδεύων, αὐτός τε ὑπὸ δίψους ἐπόνει καὶ οἱ Μακεδόνες. Οἱ κατάσκοποι τῆς χώρας ἐν κοίλῃ πέτρᾳ σμικρὸν ὕδατιον εὑρόντες, τοῦτο βαλόντες ἐν κράνει Ἀλεξάνδρῳ κομίζουσιν. Ὁ δὲ τῇ στρατιᾷ δείξας, ὡς εὐθυμεῖν χρή, φανέντος ὕδατος, αὐτὸς μὴ πιὼν ἐξέχεε τὸ κράνος, πάντων ὁρώντων. Οἱ Μακεδόνες ἀλαλαξάντες ἐκέλευον αὐτὸν ἡγεῖσθαι τῆς ὁδοῦ, πρὸς τὸ δίψος εὐρώστως ἀντέχοντες διὰ τὴν τοῦ βασιλέως ἐγκράτειαν (Βιβλ. Δ΄ κεφ. γ΄).

15. Πύρρος εἰς τὴν Πελοπόννησον ἐμβαλών, Σπαρτιατῶν πρεσβευτῶν ἀπαντώντων περὶ Ἀρκαδίαν, φιλανθρώπως αὐτοὺς ὑπεδέξατο, καὶ τοὺς ἰδίους υἱοὺς ὑπέσχετο πέμψειν Σπαρτιάταις παιδευθησομένους τὴν Λυκούργειον νομοθεσίαν. Οἱ μὲν

πρεσβευταὶ ταῦτα ἤγγελλον· ὁ δὲ Πύρρος τῇ Σπάρτῃ προσέβαλεν. Ἐγκαλούντων δὲ τῶν Σπαρτιατῶν, ὡς ἄλλα προειπὼν ἄλλα πράττει, γελάσας, ἔφη· «Οὐδὲ γὰρ ὑμεῖς εἰώθατε προλέγειν, μέλλοντες πολεμεῖν. Μὴ τοίνυν ἀγανακτεῖτε, εἰ πρὸς τοὺς Λάκωνας ἐχρησάμην λακωνικῷ στρατηγήματι (Βιβλ. ς΄, κεφ. ς΄).

16. Κῦρος Κροίσῳ ἀντιπαρετάσσετο. Λυδοὶ ἦσαν οἱ ἱππεῖς πολλοὶ καὶ μέγα ἐπὶ τούτοις ἐφρόνει Κροῖσος. Ἀλλὰ τὸ ἱππικὸν Κροίσου ἀπέφηνεν ἀχρεῖον, Κύρος προτάξας τῶν ἱππικῶν ὁπλιτῶν καμήλους πολλάς· ἵππος δὲ καμήλου φεύγει καὶ τὴν ὄψιν καὶ τὴν ὀσμήν. Αὐτίκα δὲ φεύγοντες οἱ ἵπποι τοὺς Λυδοὺς ὑπεξέφερον· ὥστε ἦν Κύρῳ νίκη καὶ πρό γε τῆς μάχης (Βιβλ. Ζ΄ κεφ. ς΄).

17. Δαρεῖος πρῶτος φόρους ἔταξε τοῖς ἔθνεσιν. Ὅπως δὲ μὴ χαλεπὴ εἴαν, οὐκ αὐτὸς ἔταξεν, ἀλλὰ τοῖς Σατράπαις τάξαι προσέταξε. Τῶν δὲ ὁρισάντων μεγάλους φόρους, αὐτὸς προσέγραψε· «τοὺς ἡμίσεις χαριζόμεθα τοῖς ὑπηκόοις». Οἱ δὲ ἄσμενοι τοὺς ἡμίσεις τελεῖν ὑπέστησαν, ὡς ἤδη μεγάλην εὐεργεσίαν παρὰ τοῦ βασιλέως λαβόντες (Βιβλ. Ζ΄ κεφ. ια΄).

ΑΠΟΛΛΟΔΩΡΟΥ

Ὁ Ἀπολλόδωρος, Ἀθηναῖος γραμματικός, υἱὸς Ἀσκληπιάδου, ἔζησε τὸν β' αἰῶνα πρὸ Χριστοῦ. Οὗτος συνέγραψε πολλὰ συγγράμματα, οἷον τὰ ***Χρονικά***, ἐν οἷς περιελαμβάνοντο γεγονότα 1040 ἐτῶν, ἀπὸ τῶν Τρωϊκῶν χρόνων μέχρι τοῦ 141 π.Χ., ***Γῆς περίοδον***, ***Νεῶν κατάλογον***, ἐν ᾧ ἠρμηνεύετο καὶ ἀνεπτύσσετο ὁ ὁμηρικὸς κατάλογος, ***περὶ Θεῶν*** κτλ. κτλ. Ἡ δὲ ***Βιβλιοθήκη***, ἥτις εἶναι σύνοψις ἀρχαίων παραδόσεων περὶ θεῶν καὶ ἡρώων, ἀμφιβάλλεται ἂν ἦναι ἔργον τοῦ Ἀπολλοδώρου ἢ μεταγενεστέρου τινὸς γραμματικοῦ.

ΒΙΒΛΙΟΘΗΚΗ

1. Οὐρανὸς καὶ Γῆ.

Οὐρανὸς πρῶτος τοῦ παντὸς ἐδυνάστευσε κόσμου, ἐτέκνωσε δ' ἐκ τῆς Γῆς πρώτους τοὺς Ἑκατόγχειρας προσαγορευθέντας, Βριάρεων, Γύην, Κόττον, οἳ μεγέθει τε ἀνυπέρβλητοι καὶ δυνάμενοι· καθειστήκεσαν, χεῖρας μὲν ἀνὰ ἑκατόν, κεφαλὰς δὲ ἀνὰ πεντήκοντα ἔχοντες. Μετὰ τούτους δὲ αὐτῷ τεκνοῖ Γῆ Κύκλωπας, Ἄργην, Στερόπην, Βρόντην, ὧν ἕκαστος εἶχεν ἕνα

Σημ. Διὰ νὰ ἐννοήσωμεν, ἂν μία μετοχὴ ἦναι χρονικὴ ἢ αἰτιολογικὴ ἢ ἀναφορικὴ κτλ. (ἰδὲ ***ε' ἄσκησιν***), καὶ ἀναλύσωμεν αὐτὴν διὰ τοῦ οἰκείου συνδέσμου, ἀνάγκη νὰ λάβωμεν μαζὶ καὶ τὸ ῥῆμα τῆς προτάσεως εἰς τὴν ὁποίαν ἡ μετοχὴ ἀνήκει, ἢ τὸ ὄνομα μόνον, εἰς τὸ

ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου. Ἀλλὰ τούτους μὲν Οὐρανὸς δήσας εἰς Τάρταρον ἔρριψε (τόπος δὲ οὗτος ἐρεβώδης ἐστὶν ἐν Ἅιδου, τοσοῦτον ἀπὸ γῆς ἔχων διάστημα, ὅσον ἀπ' οὐρανοῦ γῆ), τεκνοῖ δὲ αὖθις ἐκ Γῆς παῖδας μὲν τοὺς Τιτᾶνας προσαγορευθέντας, Ὠκεανόν, Κοῖον, Ὑπερίονα, Κρίον, Ἰαπετὸν καὶ νεώτατον ἁπάντων Κρόνον, θυγατέρας δὲ τὰς κληθείσας Τιτανίδας, Τηθύν, Ῥέαν, Θέμιν, Μνημοσύνην, Φοίβην, Διώνην, Θείαν.

2. Κρόνος καὶ Ῥέα.

Ἡ Γῆ ἀγανακτοῦσα ἐπὶ τῇ ἀπωλείᾳ τῶν εἰς Τάρταρον ῥιφθέντων παίδων πείθει τοὺς Τιτᾶνας ἐπιθέσθαι τῷ πατρί. Οἱ δὲ χωρὶς Ὠκεανοῦ ἐπιτίθενται καὶ τῆς ἀρχῆς αὐτὸν ἐκβάλλοντες, τούς τε καταταρταρωθέντας ἀνήγαγον ἀδελφοὺς καὶ τὴν ἀρχὴν Κρόνῳ παρέδοσαν.

Ὁ δὲ τούτους μὲν ἐν τῷ Ταρτάρῳ πάλιν δήσας καθεῖρξε, τὴν δὲ ἀδελφὴν Ῥέαν λαβὼν σύζυγον, ἐπειδὴ Γῆ τε καὶ Οὐ-

ὁποῖον ἀναφέρεται. Οὕτως, ἐὰν εἴπωμεν *Ὁ Οὐρανὸς ἔρριψε δήσας*, ἐννοοῦμεν ἀμέσως ὅτι ὁ οὐρανὸς ἔρριψεν, ἀφ' οὗ ἔδεσεν (=ἐπεὶ ἔδησεν), ὅτι δηλ. προηγουμένως ἔδεσε καὶ ἔπειτα ἔρριψεν (ἰδὲ ***ε' ἄσκ.*** α' παρατηρ.) ὁμοίως *ἡ Γῆ πείθει* κτλ. *ἀγανακτοῦσα*=ἡ Γῆ καταπείθει κτλ., ἐπειδὴ ἠγανάκτει· καὶ ὁ *Οὐρανὸς τεκνοῖ θυγατέρας τὰς κληθείσας*=αἵ ἐκλήθησαν (αἱ ὁποῖαι ὠνομάσθησαν).

στ' ***Ἄσκησις.*** Ὅπως ἐκ τοῦ ῥήματος πρὸ πάντων ὁδηγούμεθα εἰς τὴν ἐξήγησιν μιᾶς μετοχῆς, οὕτω πάλιν ἐκ τοῦ ῥήματος ἀναγκαζόμεθα ἄλλοτε μὲν νὰ ἐξηγήσωμεν ἓν ἀπαρέμφατον διὰ τοῦ εἰδικοῦ συνδέσμου *ὅτι*, ἄλλοτε δὲ διὰ τοῦ τελικοῦ *νὰ διὰ νὰ* (=ἵνα). Οὕτω λ.χ. Φασὶ τὸν Χείλωνα *πυθέσθαι* (Διογ. Λαερτ. 3) = λέγουσιν *ὅτι*, ὁ Χείλων *ἠρώτησεν*· ὁ Φίλιππος *ἔλεγε μακαρίζειν* (Πλουτ. 3) = ὁ Φιλ. *ἔλεγεν ὅτι μακαρίζει*· ὁ Θεὸς ἔχρησε *νικᾶν* τοὺς Ἀθηναίους (Πολ. 3. =ὁ Θεὸς ἐχρησμοδότησεν *ὅτι νικῶσι* (νικηταὶ εἶναι) οἱ Ἀθηναῖοι·

ρανὸς ἐθεσπιῴδουν αὐτῷ λέγοντες ὑπὸ παιδὸς ἰδίου τὴν ἀρχὴν ἀφαιρεθήσεσθαι, κατέπινε τὰ γεννώμενα. Καὶ πρώτην μὲν γεννηθεῖσαν Ἑστίαν κατέπιεν, εἶτα Δήμητραν καὶ Ἥραν, μεθ' ἃς Πλούτωνα καὶ Ποσειδῶνα. Ὀργισθεῖσα δ' ἐπὶ τούτοις Ῥέα, παραγίγνεται μὲν εἰς Κρήτην, ὁπηνίκα τὸν Δία ἐγκυμονοῦσα ἐτύγχανε, γεννᾷ δὲ ἐν ἄντρῳ τῆς Δίκτης Δία, καὶ τοῦτον δίδωσι τρέφεσθαι Κούρησί τε καὶ ταῖς Μελισσέως παισὶ νύμφαις, Ἀδραστείᾳ τε καὶ Ἴδῃ. Αὗται μὲν οὖν τὸν παῖδα ἔτρεφον τῷ τῆς Ἀμαλθείας γαλακτι, οἱ δὲ Κούρητες ἔνοπλοι ἐν τῷ ἄντρῳ τὸ βρέφος φυλάσσοντες, ταῖς δόραισι τὰς ἀσπίδας συνέκρουον, ἵνα μὴ τῆς τοῦ παιδὸς φωνῆς ὁ Κρόνος ἀκούσῃ. Ῥέα δὲ λίθον σπαργανώσασα ἔδωκε Κρόνῳ καταπιεῖν ὡς τὸν γεγεννημένον παῖδα.

Τιμόθεος ἐνομίζετο *εἶναι* (Πλουτ. 8)=ὁ Τιμόθεος ἐνομίζετο *ὅτι εἶναι*· Διονύσιος ἤκουσε τοὺς Συρακουσίους *γελᾶν* (Πλουτ. 2)=ὁ Δ. ἤκουσεν ὅτι οἱ Συρακ. γελῶσιν. Ἐν μυθ. 12 ἠβουλήθην *γενέσθαι*=ἐπεθύμησα *νὰ γίνω*· ἐν μυθ. 14 πειράσομαι *βαδίζειν* = θὰ προσπαθήσω *νὰ περιπατήσω*· ἐν μυθ. 18 παρεσκευάζοντο *ἀναχωρῆσαι*=ἡτοιμάζοντο *ν' ἀναχωρήσωσιν*· ἐν μυθ. 11 Λύκος παρῆνει τῇ αἰγὶ *καταβῆναι*=λ. συνεβούλευε τὴν αἶγα νὰ καταβῇ.

Ἐν Ἀπολλοδ. 2. Ἡ Γῆ πείθει τοὺς Τιτᾶνας *ἐπιθέσθαι*=καταπείθει τοὺς Τ. *νὰ ἐπιτεθῶσιν*· ἡ Γῆ καὶ ὁ Οὐρανὸς ἐθεσπιῴδουν τῷ Κρόνῳ *ἀφαιρεθήσεσθαι*—ἡ γῆ... προεφήτευον εἰς τὸν Κρόνον ὅτι θὰ στερηθῇ· ἡ Ῥέα δίδωσι τὸν Δία *τρέφεσθαι*—ἡ Ῥέα παραδίδει τὸν Δία *διὰ νὰ τρέφηται*· ἡ Ῥέα ἔδωκε λίθον τῷ Κρόνῳ *καταπιεῖν*—διὰ νὰ καταπίῃ.

Παρατήρησις. Τὰ ἀπαρέμφατα τὰ ἐξηγούμενα διὰ τοῦ εἰδικοῦ συνδέσμου *ὅτι* ὀνομάζονται *εἰδικά*, τὰ δὲ διὰ τοῦ τελικοῦ *νὰ* (ἵνα), τελικά.

Σημ. Τὰ διὰ κυρτῶν γραμμάτων ἐφεξῆς γεγραμμένα προβάλλονται εἰς ἐφαρμογήν.

3. Ζεὺς καὶ Ἥρα.

Ἐπειδὴ Ζεὺς ἐγεννήθη τέλειος, λαμβάνει Μῆτιν τὴν Ὠκεανοῦ συνεργόν, ἣ δίδωσι Κρόνῳ καταπιεῖν φάρμακον, ὑφ' οὗ ἐκεῖνος ἀναγκασθεὶς πρῶτον μὲν ἐξεμεῖ τὸν λίθον, ἔπειτα τοὺς παῖδας, οὓς κατέπιε. Μετὰ τούτων Ζεὺς τὸν πρὸς τὸν Κρόνον καὶ Τιτᾶνας ἐξήνεγκε πόλεμον. Μαχομένων δὲ αὐτῶν ἐνιαυτοὺς δέκα, ἡ Γῆ τῷ Διὶ ἔχρησε τὴν νίκην, τοὺς καταταρταρωθέντας ἂν ἔχῃ συμμάχους· ὁ δὲ τὴν φρουροῦσαν αὐτῶν τὰ δεσμὰ Κάμπην ἀποκτείνας ἔλυσεν. Καὶ Κύκλωπες τότε Διὶ μὲν δίδασι βροντὴν καὶ ἀστραπὴν καὶ κεραυνόν, Πλούτωνι δὲ κυνέην, Ποσειδῶνι δὲ τρίαιναν· οἱ δὲ τούτοις ὁπλισθέντες κρατοῦσι Τιτάνων καὶ καθείρξαντες αὐτοὺς ἐν τῷ Ταρτάρῳ τοὺς Ἑκατόγχειρας καθιστῶσι φύλακας. Αὐτοὶ δὲ διακληροῦνται περὶ τῆς ἀρχῆς, καὶ λαγχάνει Ζεὺς μὲν τὴν ἐν Οὐρανῷ δυναστείαν, Ποσειδῶν δὲ τὴν ἐν θαλάσσῃ, Πλούτων δὲ τὴν ἐν Ἅιδου. Ζεὺς ἤδη τοῦ παντὸς κόσμου δυναστεύσας ἠγάγετο Ἥραν καὶ ἐκ ταύτης μὲν ἐγέννησεν Ἥβην, Εἰλείθυιαν, Ἄρην, ἐξ ἄλλων δὲ γυναικῶν θνητῶν τε καὶ ἀθανάτων πολλὰ ἄλλα τέκνα.

4. Διὸς τέκνα.

Ἄρτεμις καὶ Ἀπόλλων.

Λητὼ ἡ Κοίου καὶ Φοίβης θυγάτηρ ἐκ τοῦ Διὸς ἐν Δήλῳ ἔτεκε πρώτην Ἄρτεμιν, ὑφ' ἧς μαιωθεῖσα ὕστερον Ἀπόλλωνα ἐγέννησεν. Ἄρτεμις μὲν οὖν τὰ περὶ θήραν ἀσκήσασα παρθένος ἔμεινεν, Ἀπόλλων δὲ τὴν μαντικὴν μαθὼν παρὰ τοῦ

---

3. Ζεὺς ἐγεννήθη τέλειος (ἰδὲ *β' ἄσκ.*)· *ἣ δίδωσι Κρόνῳ καταπιεῖν*· *ὁ δὲ* (Ζεὺς) *ἔλυσεν ἀποκτείνας*· *οἱ δὲ ὁπλισθέντες κρατοῦσιν, καθείρξαντες καθιστῶσιν.*

4. Ἄρτεμις *ἀσκήσασα ἔμεινε παρθένος (β' ἄσκ.).* Ἀπόλλων *μαθὼν*

Πανὸς τοῦ Διὸς καὶ Θύμβρεως ἦκεν εἰς Δελφούς, χρησμῳδούσης τότε Θέμιδος· ὡς δὲ ὁ φρουρῶν τὸ μαντεῖον Πύθων ὄρις ἐκώλυεν αὐτὸν παρελθεῖν ἐπὶ τὸ χάσμα, τοῦτον ἀνελὼν τὸ μαντεῖον παραλαμβάνει. Κτείνει δὲ μετ' οὐ πολὺ καὶ Τιτυόν, ὃς ἦν Διὸς υἱὸς καὶ τῆς Ὀρχομενοῦ θυγατρὸς Ἐλάρης, ἣν Ζεὺς δείσας Ἥραν, ὑπὸ γῆν ἔκρυψε καὶ τὸν κυοφορηθέντα παῖδα Τιτυὸν ὑπερμεγέθη εἰς φῶς ἀνήγαγεν. Τοῦτον εἰς Πυθὼ ἐλθόντα καὶ Λητοῦς ἐρασθέντα κατατοξεύουσιν οἱ παῖδες αὐτῆς. Καὶ μετὰ θάνατον δὲ κολάζεται ὁ Τιτυός· γῦπες γὰρ αὐτοῦ τὴν καρδίαν ἐν Ἅιδου ἐσθίουσιν.

Ἀπέκτεινε δὲ Ἀπόλλων καὶ τὸν Ὀλύμπου παῖδα Μαρσύαν. Οὗτος γὰρ εὑρὼν αὐλούς, οὓς ἔρριψεν Ἀθηνᾶ διὰ τὸ τὴν ὄψιν αὐτῆς ποιεῖν ἄμορφον, ἦλθεν εἰς ἔριν περὶ μουσικῆς Ἀπόλλωνι. Συνθεμένων δὲ αὐτῶν, ἵνα ὁ νικήσας ὃ βούλεται διαθῇ τὸν ἡττημένον, τῆς κρίσεως γενομένης, τὴν κιθάραν στρέψας ἠγωνίζετο ὁ Ἀπόλλων, καὶ ταὐτὸ ποιεῖν ἐκέλευσε τὸν Μαρσύαν· τοῦ δὲ ἀδυνατοῦντος, εὑρεθεὶς κρείσσων ὁ Ἀπόλλων, κρεμάσας τὸν Μαρσύαν ἔκ τινος ὑπερτενοῦς πίτυος, ἐκταμὼν τὸ δέρμα οὕτω διέφθειρεν.

5. Διὸς ἀδελφοί.

Ποσειδῶν καὶ Πλούτων.

Ποσειδῶν Ἀμφιτρίτην τὴν Ὠκεανοῦ ἠγάγετο καὶ ἐγένετο αὐτῷ Τρίτων καὶ Ρόδη, ἡ ὕστερον τοῦ Ἡλίου σύζυγος. Πλού-

ἦκε, Θέμιδος *χρησμῳδούσης*· ὁ ὄφις ἐκώλυεν αὐτὸν *παρελθεῖν*· ὁ Ἀπολλ.. *ἀνελὼν* (τὸν ὄφιν) παραλαμβάνει· οἱ Λητοῦς παῖδες κατατοξεύουσι (Τιτυὸν) *ἐλθόντα καὶ ἐρασθέντα*· τοῦ δὲ (Μαρσύου) *ἀδυνατοῦντος*· ὁ Ἀπολλ.. *εὑρεθείς, κρεμάσας, ἐκτεμὼν* διέφθειρεν.

5. (Πλούτων) *ἐρασθεὶς* ἥρπασεν. Πλ.. ἥρπασε Διὸς *συνεργοῦντος*· Δήμητρα περιῇει ζητοῦσα *(ε' ἀσκ. ζ')*· Δήμητρα *μαθοῦσα*, ὀργι-

των δὲ Περσεφόνης ἐρασθείς, Διὸς συνεργοῦντος, ἥρπασεν αὐτὴν κρύφα. Δήμητρα δὲ μετὰ λαμπάδων νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα περιῇει· μαθοῦσα δὲ παρ' Ἑρμιονέων ὅτι Πλούτων αὐτὴν ἥρπασεν, ὀργιζομένη θεοῖς ἀπέλιπεν οὐρανόν, εἰκασθεῖσα δὲ γυναικὶ ἦκεν εἰς Ἐλευσῖνα. Καὶ πρῶτον μὲν ἐπὶ τὴν ἀπ' ἐκείνης κληθεῖσαν Ἀγέλαστον ἐκάθισε πέτραν παρὰ τὸ Καλλίχορον φρέαρ καλούμενον, ἔπειτα πρὸς Κελεὸν ἐλθοῦσα τὸν βασιλεύοντα τότε Ἐλευσινίων, ἔνδον οὐσῶν γυναικῶν καὶ λεγουσῶν τούτων παρ' αὐτὰς καθέζεσθαι, γραΐά τις Ἰάμβη σκώψασα τὴν θεὸν ἐποίησε μειδιάσαι. Διὰ τοῦτο ἐν τοῖς θεσμοφορίοις τὰς γυναῖκας σκώπτειν λέγουσιν.

6. Πόλεμοι πρὸς τοὺς θεούς.

α' τῶν Γιγάντων.

Γῆ ἀγανακτοῦσα περὶ Τιτάνων γεννᾷ Γίγαντας ἐξ οὐρανοῦ, μεγέθει μὲν σωμάτων ἀνυπερβλήτους, δυνάμει δὲ ἀκαταγωνίστους, οἳ φοβεροὶ μὲν ταῖς ὄψεσι κατεφαίνοντο, καθειμένοι βαθεῖαν κόμην ἐκ κεφαλῆς καὶ γενείων, εἶχον δὲ τὰς βάσεις φολίδας δρακόντων. Ἐγένοντο δέ, ὡς μέν τινες λέγουσιν, ἐν Φλέγραις, ὡς δὲ ἄλλοι ἐν Παλλήνῃ. Ἠκόντιζον δὲ εἰς οὐρανὸν πέτρας καὶ δρῦς ἡμμένας. Πάντων τούτων διέφερε Πορφυρίων τε καὶ Ἀλκυονεύς, ὃς δὴ καὶ Ἀθάνατος ἦν, ἐν ᾧπερ ἐγεννήθη γῇ μαχόμενος. Οὗτος καὶ τὰς Ἡλίου βοῦς ἐξ Ἐρυθείας ἤλω-

ζομένη ἀπέλιπεν· *εἰκασθεῖσα* ἦκεν. Ἰάμβη ἐποίησε (τὴν θεὸν) *μειδιᾶσαι*· λέγουσιν (οἱ ἄνθρωποι) *σκώπτειν* τὰς γυναῖκας.

6. α' *καθειμένοι*· λόγιον ἦν μὴ *δύνασθαι, ἀπολέσθαι, τελευτήσειν* δέ, θνητοῦ *συμμαχοῦντος*· ἡ Γῆ *αἰσθομένη* ἐξήτει.

σεν. Τοῖς δὲ θεοῖς λόγιον ἦν ὑπὸ θεῶν μὲν μηδένα τῶν Γιγάντων ἀπολέσθαι δύνασθαι, συμμαχοῦντος δὲ θνητοῦ τινος τελευτήσειν. Αἰσθομένη δὲ Γῆ τοῦτο ἐζήτει φάρμακον, ἵνα μηδ' ὑπὸ θνητοῦ δυνηθῶσιν ἀπολέσθαι. Ζεὺς δὲ ἀπειπὼν φαίνειν Ἠοῖ τε καὶ Σελήνῃ καὶ Ἡλίῳ τὸ μὲν φάρμακον αὐτὸς ἔταμε φθάσας, Ἡρακλέα δὲ σύμμαχον δι' Ἀθηνᾶς ἐπεκαλέσατο. Οὕτω πάντες οἱ Γίγαντες ὕστερον ἀπέθανον ἄλλοι ὑπ' ἄλλου θεοῦ τόξοις καὶ κεραυνοῖς.

β' Τυφῶνος.

Ὡς δὲ ἐκράτησαν οἱ θεοὶ τῶν Γιγάντων, Γῆ μᾶλλον χολωθεῖσα γεννᾷ ἐκ τοῦ Ταρτάρου Τυφῶνα ἐν Κιλικίᾳ, μεμιγμένην ἔχοντα φύσιν ἀνδρὸς καὶ θηρίου. Οὗτος καὶ μεγέθει καὶ δυνάμει πάντων διήνεγκεν, ὅσους ἐγέννησε Γῆ, ἦν δὲ αὐτῷ τὰ μὲν ἄχρι μηρῶν ἄπλετον μέγεθος ἀνδρόμορφον, ὥστε ὑπερέχειν μὲν πάντων τῶν ὀρῶν, ἡ δὲ κεφαλὴ πολλάκις τῶν ἄστρων ἥπτετο· χεῖρας δὲ εἶχε τὴν μὲν ἐπὶ τὴν ἑσπέραν ἐκτεινομένην, τὴν δὲ ἐπὶ τὰς ἀνατολάς· ἐκ τούτων δ' ἐξεῖχον ἑκατὸν κεφαλαὶ δρακόντων. Τὰ δὲ ἀπὸ μηρῶν σπείρας εἶχεν ὑπερμεγέθεις ἐχιδνῶν, ὧν ὀλκοὶ πρὸς αὐτὴν ἐκτεινόμενοι κορυφὴν συριγμὸν πολὺν ἐξίεσαν. Πᾶν δὲ αὐτοῦ τὸ σῶμα κατεπτέρωτο, αὐχμηραὶ δὲ ἐκ κεφαλῆς καὶ γενείων τρίχες ἐζηνεμοῦντο, πῦρ δ' ἐδέρκετο τοῖς ὄμμασι. Τοιοῦτος ὢν ὁ Τυφὼν καὶ τηλικοῦτος ἡμμένας βάλλων πέτρας ἐπ' αὐτὸν τὸν Οὐρανὸν μετὰ συριγμῶν ὁμοῦ καὶ βοῆς ἐφέρετο· πολλὴ δὲ ἐκ τοῦ στόματος πυρὸς ἐξέβρασε ζάλη· θεοὶ δ' ὡς εἶδον αὐτὸν ἐπ' οὐρανὸν ὁρμώμενον, εἰς Αἴγυπτον φυγάδες ἐφέροντο καὶ διωκόμενοι τὰς ἰδέας μετέβαλον εἰς ζῶα.

3. Τιτάνων ἔκγονοι.

α' Προμηθεύς.

Ἰαπετοῦ καὶ Ἀσίας ἐγένετο Προμηθεύς, ὃς ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας ἔδωκεν αὐτοῖς καὶ πῦρ λάθρᾳ Διός, ἐν νάρθηκι κρύψας. Ὡς δὲ ᾔσθετο Ζεύς, ἐπέταξεν Ἡφαίστῳ Καυκάσῳ ὄρει τὸ σῶμα αὐτοῦ προσηλῶσαι· τοῦτο δὲ σκυθικόν ὄρος ἐστίν. Ἐν δὴ τούτῳ προσηλωθεὶς Προμηθεὺς πολλῶν ἐτῶν ἀριθμὸν ἐδέδετο· καθ' ἑκάστην δὲ ἡμέραν ἀετὸς ἐφιπτάμενος αὐτῷ τοὺς λεβοὺς ἐνέμετο τῶν ἥπατων αὐξανομένων διὰ νυκτός. Οὕτω Προμηθεὺς πυρὸς κλαπέντος δίκην ἔτινε ταύτην, μέχρις Ἡρακλῆς αὐτὸν ὕστερον ἔλυσεν.

β' Προμηθέως παῖς Δευκαλίων.

Προμηθέως παῖς Δευκαλίων ἐγένετο. Οὗτος βασιλεύων τῶν περὶ τὴν Φθίαν τόπων ἄγεται Πύρραν τὴν Ἐπιμηθέως καὶ Πανδώρας, ἣν ἔπλασαν θεοὶ πρώτην γυναῖκα. Ἐπεὶ δὲ ἀφανίσαι Ζεὺς τὸ χαλκοῦν ἤθελε γένος, ὑποθεμένου Προμηθέως Δευκαλίων τεκτηνάμενος λάρνακα καὶ τὰ ἐπιτήδεια ἐνθέμενος εἰς ταύτην μετὰ Πύρρας εἰσέβη. Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' Οὐρανοῦ χέας τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυσεν, ὥστε διαφθαρῆναι πάντας ἀνθρώπους ὀλίγων χωρίς, οἳ συνεφοίτων εἰς τὰ πλησίον ὑψηλὰ ὄρη. Τότε δὲ καὶ τὰ κατὰ Θεσσαλίαν ὄρη διέστη, καὶ τὰ ἐκτὸς Ἰσθμοῦ καὶ Πελοποννήσου συνεχέθη πάντα. Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης φερόμενος ἐφ'

7. α' πλάσας ἔδωκε, κρύψας· Ζεὺς ἐπέταξεν Ἡφαίστῳ προσηλῶσαι· ἀετὸς ἐφιπτάμενος ἐνέμετο.

β' Ζεὺς ἤθελεν ἀφανίσαι· τὰ ὄρη διέστη (ἰδὲ προσθήκην εἰς τὴν α' ἀσκ. σελ. 60)· χοὴ ὄμβρων λαβόντων παῦλαν· Ζεὺς ἐπέτρεψε Δευκαλίωνι αἰτεῖσθαι· ὃ δὲ αἰτεῖται γενέσθαι ἀνθρώπους.

ἡμέρας ἐννέα καὶ νύκτας τὰς ἴσας τῷ Παρνασσῷ προσίσχει, κἀκεῖ τῶν ὄμβρων παῦλαν λαβόντων ἐκβὰς θύει Διὶ φυξίῳ. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψεν αἰτεῖσθαι ὅτι βούλεται· ὁ δὲ αἱρεῖται ἀνθρώπους αὐτῷ γενέσθαι. Καὶ Διὸς εἰπόντος, ὑπὲρ κεφαλῆς αἴρων ἔβαλλε λίθους καὶ οὓς μὲν ἔβαλε Δευκαλίων, ἄνδρες ἐγένοντο, οὓς δὲ Πύρρα γυναῖκες. Ὅθεν καὶ λαοὶ μεταφορικῶς ὠνομάσθησαν ἀπὸ τοῦ *λᾶας* (ὁ λίθος).

γ′ *Δευκαλίωνος παῖδες καὶ ἔκγονοι.*

Γίνονται δὲ ἐκ Πύρρας Δευκαλίωνι παῖδες Ἕλλην μὲν πρῶτος, ὃν ἐκ Διὸς γεγενῆσθαι λέγουσι, δεύτερος δὲ Ἀμφικτύων ὁ μετὰ Κραναὸν βασιλεύσας τῆς Ἀττικῆς, θυγάτηρ δὲ Πρωτογένεια, ἐξ ἧς καὶ Διὸς Ἀέθλιος. Ἕλληνος δὲ καὶ νύμφης Ὀρσηΐδος Δῶρος, Ξοῦθος, Αἴολος. Αὐτὸς μὲν οὖν ἀφ' αὑτοῦ τοὺς καλουμένους Γραικοὺς προσηγόρευσεν Ἕλληνας, τοῖς δὲ παισὶν ἐμέρισε τὴν χώραν καὶ Ξοῦθος μὲν λαβὼν τὴν Πελοπόννησον ἐκ Κρεούσης τῆς Ἐρεχθέως Ἀχαιὸν ἐγέννησε καὶ Ἴωνα, ἀφ' ὧν Ἀχαιοὶ καὶ Ἴωνες καλοῦνται. Δῶρος δὲ τὴν πέραν χώραν Πελοποννήσου λαβὼν τοὺς κατοίκους ἀφ' ἑαυτοῦ Δωριεῖς ἐκάλεσεν· Αἴολος δὲ βασιλεύων τῶν περὶ Θεσσαλίαν τόπων τοὺς ἐνοικοῦντας Αἰολεῖς προσηγόρευσε καὶ ἀγαγόμενος Ἐναρέτην τὴν Δαΐμάχου παῖδας μὲν ἐγέννησεν ἑπτά, Κρηθέα, Σίσυφον, Ἀθάμονα, Σαλμωνέα, Δηϊόνα, Μάγνητα καὶ Περιήρην, θυγατέρας δὲ πέντε, Κανάκην, Ἀλκυόνην, Πεισιδίκην, Καλύκην, Περιμήδην.

γ′ ὃν λέγουσιν *γεγειῆσθαι*.

ζ′ *ἄσκησις*. Εἴδομεν ὅτι ἡ μετοχὴ λαμβάνει ὑποκείμενον κατὰ τὴν ἰδικήν της πτῶσιν (*δ′ ἄσκ.* β′ παρατηρ.) Τὸ ἀπαρέμφατον ὡς ὑποκείμενον ἔχει πολλάκις τὸ ἴδιον, ὅπερ ἔχει καὶ τὸ ῥῆμα οἷον: *ἠβουλήθην γενέσθαι* (—ἠθέλησα νὰ γίνω), ἐν ᾧ τὸ *ἐγὼ* ὑποκ. τοῦ *γενέσθαι*· *πειράσομαι βαδίζειν* (μυθ. 14), ἐγὼ βαδίζειν· μυθ. 18 *οἱ ἁλιεῖς παρεσκευάζοντο ἀναχωρῆσαι* (οἱ ἁλιεῖς ὑποκείμ. τοῦ ἀναχωρῆσαι)· *ὁ Ζεὺς ἤθελεν ἀφανίσαι* (ὁ Ζεὺς ἀφανίσαι) *ὁ γέρων ὑπέσχετο δώσειν* (ὁ γέρων δώσειν)· *ὁ Φιλ. ἔλεγε μακαρίζειν* (ὁ Φιλ. μακαρίζειν)· *ὁ Τιμόθεος ἐνομίζετο εἶναι* (ὁ Τιμόθεος εἶναι). Ἄλλοτε τὸ ὑποκείμενον τοῦ ἀπαρεμφάτου τίθεται κατὰ πτῶσιν αἰτιατικήν, ἥτις ἢ ἀνήκει προηγουμένως εἰς τὸ ῥῆμα καὶ κατόπιν λαμβάνεται ὡς ὑποκείμενον τοῦ ἀπαρεμφάτου, οἷον *ἡ Γῆ πείθει τοὺς Τιτᾶνας ἐπιθέσθαι* — ἡ Γῆ καταπείθει τοὺς Τιτᾶνας νὰ ἐπιτεθῶσιν (οἱ Τιτᾶνες). *Ὁ ὄφις ἐκώλυε τὸν Ἀπόλλωνα παρελθεῖν*— ὁ ὄφις ἠμπόδιζε τὸν Ἀπόλλ. νὰ πλησιάσῃ (ὁ Ἀπόλλων)· *ἡ Ἰάμβη ἐποίησε τὴν θεὰν μειδιάσαι*—ἡ Ἰ. ἔκαμε τὴν θεὰν νὰ γελάσῃ (ἡ θεά)· ἢ δὲν ἀνήκει εἰς τὸ ῥῆμα, ἀλλὰ κατ' εὐθεῖαν λαμβάνεται ὡς ὑποκείμενον τοῦ ἀπαρεμφάτου, οἷον· *φασὶ τὸν Χείλωνα πυθέσθαι* (Διογ. Λ. 3)—λέγουσι (πολλοὶ) ὅτι ὁ Χείλων ἠρώτησεν· *ὁ Διονύσιος ἤκουσε τοὺς Συρακουσίους γελᾶν* (Πλουτ. 2) — ὁ Διον. ἤκουσεν ὅτι οἱ Συρακ. γελῶσιν. Ἄλλοτε τὴν αἰτιατικὴν ταύτην λαμβάνομεν ἐκ δοτικῆς, ἥτις ἀνήκει εἰς τὸ ῥῆμα, οἷον: *λύκος παρῆκε τῇ αἰγὶ καταβῆναι* (τὴν *αἶγα* ὑποκ. τοῦ *καταβῆναι*) — νὰ καταβῇ ἡ αἴξ· *ἡ Ῥέα δίδωσι τῷ Κρόνῳ καταπιεῖν* (τὸν *Κρόνον* ὑποκ. τοῦ *καταπιεῖν*) — ὁ Κρόνος νὰ καταπίῃ· *ὁ Ζεὺς ἐπέταξεν Ἡφαίστῳ προσηλῶσαι* (*Ἡφαιστον* ὑποκ. τοῦ *προσηλῶσαι*)—ὁ Ἥφαιστος νὰ καρφώσῃ.

α′ παρατήρησις. Τὰ ἀπαρέμφατα λέγονται ὅτι ἐξαρτῶνται ἐκ τοῦ ῥήματος, τὸ ὁποῖον ἀναγκάζει ἡμᾶς νὰ ἐξηγήσωμεν αὐτὰ διὰ τοῦ *ὅτι* ἢ *νά*.

β′ παρατήρησις. Ἡ ταὐτότης τοῦ ὑποκειμένου, ἤτοι τοῦ προσώπου καὶ ἐν τῷ ῥήματι καὶ ἐν τῷ ἀπαρεμφάτῳ λέγεται *ταὐτοπροσωπία*, ἡ δὲ διαφορὰ *ἑτεροπροσωπία*.

Ἂς διακριθῶσι τὰ ἐξῆς ἀπαρέμφατα, ἂν ἦναι *εἰδικὰ* ἢ τελικά, καὶ ποῖον τὸ ὑποκείμενον αὐτῶν.

8. α′ Ἥρα θέλουσα *διαφθαρῆναι* τὸ βρέφος· Ἡρακλῆς ἐδιδάχθη *ἁρματηλατεῖν, παλαίειν, τοξεύειν, ὁπλομαχεῖν, κιθαρῳδεῖν*.

8. Ἡρακλῆς.

Παιδικὴ αὐτοῦ ἡλικία.

α′. Ἡρακλέους παιδὸς ὄντος ὀκταμηνιαίου, δύο δράκοντας ὑπερμεγέθεις Ἥρα ἐπὶ τὴν εὐνὴν ἔπεμψε, διαφθαρῆναι τὸ βρέ-

φος θέλουσα. Ἐπιβοωμένης δὲ Ἀλκμήνης Ἀμφιτρύωνα, Ἡρακλῆς διαναστὰς ἄγχων ἑκατέραις ταῖς χερσὶν αὐτοὺς διέρθειρεν. Ἐδιδάχθη δὲ Ἡρακλῆς ἁρματηλατεῖν μὲν ὑπὸ Ἀμφιτρύωνος, παλαιεῖν δὲ ὑπὸ Αὐτολύκου, τοξεύειν δὲ ὑπὸ Εὐρύτου, ὁπλομαχεῖν δὲ ὑπὸ Κάστορος, κιθαρῳδεῖν δὲ ὑπὸ Λίνου. Οὗτος δὲ ἦν ἀδελφὸ Ὀρφέως, ἀφικόμενος δ' εἰς Θήβας καὶ Θηβαῖος γενόμενος ὑπὸ Ἡρακλέους τῇ κιθάρᾳ πληγεὶς ἀπέθανεν· ἐπιπλήξαντα γὰρ αὐτὸν ὀργισθεὶς ἀπέκτεινεν. Δείσας δὲ Ἀμφιτρύων μὴ πάλιν τι ποιήσῃ τοιοῦτον, ἔπεμψεν αὐτὸν εἰς τὰ βουφόρβια· κἀκεῖ τρεφόμενος μεγέθει τε καὶ ῥώμῃ πάντων διήνεγκε· τετραπήχυιον μὲν γὰρ εἶχε τὸ σῶμα, πυρὸς δ' ἐξ ὀμμάτων ἔλαμπεν αἴγλην· οὐκ ἠστόχει δὲ οὔτε τοξεύων οὔτε ἀκοντίζων.

Οἱ δώδεκα ἆθλοι τοῦ Ἡρακλέους.

β'. Προμαθὼν παρ' Εὐρύτου τὴν τοξικὴν Ἡρακλῆς ἔλαβε παρ' Ἑρμοῦ μὲν ξίφος, παρ' Ἀπόλλωνος δὲ τόξα, παρὰ δὲ Ἡφαίστου θώρακα χρυσοῦν, παρὰ δὲ Ἀθηνᾶς πέπλον· ῥόπαλον γὰρ αὐτὸς ἔτεμεν ἐκ Νεμέας. Παραγενόμενος δ' εἰς Δελφοὺς πυνθάνεται τοῦ Θεοῦ, ποῦ κατοικήσῃ. Ἡ δὲ Πυθία τότε πρῶτον Ἡρακλέα αὐτὸν προσηγόρευσε· τὸ δὲ πρὸ τοῦ Ἀλκείδης προσηγορεύετο. Κατοικεῖν δὲ αὐτὸν εἶπεν ἐν Τίρυνθι, Εὐρυσθεῖ λατρεύοντα ἔτη δώδεκα, καὶ τοὺς ἐπιτασσομένους ἆθλους δέκα ἐπιτελεῖν, καὶ οὕτως, ἔφη, τῶν ἄθλων συντελεσθέντων, ἀθάνατον αὐτὸν ἔσεσθαι. Ταῦτα ἀκούσας ὁ Ἡρακλῆς εἰς Τίρυνθα ἦλθε καὶ τὸ προσταττόμενον ὑπὸ Εὐρυσθέως ἐτέλει.

γ'. Πρῶτον μὲν οὖν ἐπέταξεν αὐτῷ τοῦ Νεμείου λέοντος τὴν δορὰν κομίζειν· τοῦτο δὲ τὸ ζῷον ἦν ἄτρωτον ἐκ Τυφῶνος

β'. Ἡ Πυθία εἶπε κατοικεῖν καὶ ἐπιτελεῖν· ἡ Πυθία ἔφη αὐτὸν ἔσεσθαι ἀθάνατον.
γ'. Εὐρυσθεὺς ἐπέταξεν αὐτῷ κομίζειν· Εὐρ. ἀπεῖπεν αὐτῷ εἰσιέναι.

γενεννημένον. Εἰς δὲ τὴν Νεμέαν ἀφικόμενος καὶ τὸν λέοντα μαστεύσας ἐτόξευσε πρῶτον· ὡς δ' ἔμαθεν ἄτρωτον ὄντα, ἀνατειναμένος τὸ ῥόπαλον ἐδίωκεν. Συμφυγόντος δὲ εἰς ἀμφίστομον σπήλαιον αὐτοῦ, τὴν ἑτέραν ἀπωκοδόμησεν εἴσοδον, διὰ δὲ τῆς ἑτέρας ἐπεισῆλθε τῷ θηρίῳ καὶ περιθεὶς τὴν χεῖρα τῷ τραχήλῳ κατέσχεν ἄγχων, ἕως ἔπνιξε, καὶ θέμενος ἐπὶ τῶν ὤμων ἐκόμιζεν εἰς Μυκήνας. Εὐρυσθεὺς δὲ καταλαβὼν αὐτοῦ τὴν ἀνδρείαν ἀπεῖπε τὸ λοιπὸν αὐτῷ εἰς τὴν πόλιν εἰσιέναι, δεικνύειν δὲ πρὸ τῶν πυλῶν ἐκέλευε τοὺς ἆθλους.

δ'. Δεύτερον δὲ ἆθλον ἐπέταξεν αὐτῷ τὴν Λερναίαν ὕδραν κτεῖναι· αὕτη δὲ ἐν τῷ τῆς Λέρνης ἕλει ἐκτραφεῖσα ἐξέβαινεν εἰς τὸ πεδίον καὶ τὰ τε βοσκήματα καὶ τὴν χώραν διέφθειρεν. Εἶχε δὲ ἡ ὕδρα ὑπερμέγεθες σῶμα, κεφαλὰς ἔχον ἐννέα, τὰς μὲν ὀκτὼ θνητάς, τὴν δὲ μέσην ἀθάνατον. Ἐπιβὰς οὖν ἅρματος, ἡνιοχοῦντος Ἰολάου, παρεγένετο εἰς τὴν Λέρνην, καὶ τοὺς μὲν ἵππους ἔστησε, τὴν δὲ ὕδραν εὑρὼν ἔν τινι λόφῳ παρὰ τὰς πηγὰς τῆς Ἀμυμώνης, ὅπου ὁ φωλεὸς αὐτῆς ὑπῆρχε, βαλὼν βέλεσι πεπυρωμένοις ἠνάγκασεν ἐξελθεῖν, ἐκβαίνουσαν δ' αὐτὴν πατήσας κατεῖχεν. Ἡ δὲ θἀτέρῳ τῶν ποδῶν ἠνείχετο περιπλακεῖσα. Τῷ ῥοπάλῳ δὲ τὰς κεφαλὰς κόπτων οὐδὲν ἀνύειν ἐδύνατο μιᾶς γὰρ κοπτομένης κεφαλῆς δύο ἀνεφύοντο. Ἐπεβοήθει δὲ καρκῖνος τῇ ὕδρᾳ ὑπερμεγέθης, δάκνων τὸν πόδα. Διὸ τοῦτον ἀποκτείνας ἐπεκαλέσατο καὶ αὐτὸς βοηθὸν τὸν Ἰόλαον, ὃς μέρος τι καταπρήσας τῆς ἐγγὺς ὕλης τοῖς δαλοῖς ἐπικαίων τὰς ἀνατολὰς τῶν ἀναφυομένων κεφαλῶν ἐκώλυεν ἀνιέναι. Κατὰ τοῦτον τὸν τρόπον τῶν ἀναφυομένων κεφαλῶν περιγενό-

δ'. Εὐρ. ἐπέταξεν αὐτῷ κτεῖναι· Ἡρακλῆς ἠνάγκασε (τὴν ὕδραν) ἐξελθεῖν. Ἡρ. οὐκ ἠδύνατο ἀνύειν· Ἰόλαος ἐκώλυε (τὰς ἀνατολὰς) ἀνιέναι.

μενος, τὴν ἀθάνατον ἀποκόψας κατώρυξε καὶ βαρεῖαν ἐπέθηκε πέτραν παρὰ τὴν ὁδὸν τὴν φέρουσαν διὰ Λέρνης εἰς Ἐλαιοῦντα· τὸ δὲ σῶμα τῆς ὕδρας ἀνασχίσας, τῇ χολῇ τοὺς οἰστοὺς ἐβαψεν.

ε'. Τρίτον ἆθλον ἐπέταξεν αὐτῷ τὴν Κερυνῖτιν ἔλαφον εἰς Μυκήνας ἐμπνουν ἐνεγκεῖν. Ἦν δὲ ἔλαφος ἐν Οἰνόῃ χρυσόκερως, Ἀρτέμιδος ἱερά· διὸ καὶ βουλόμενος αὐτὴν Ἡρακλῆς μήτε ἀνελεῖν μήτε τρῶσαι, συνεδίωξεν ὅλον ἐνιαυτόν. Ἐπεὶ δὲ κάμνον τὸ θηρίον τῇ δ ὠξει συνέφυγεν εἰς ὄρος τὸ λεγόμενον Ἀρτεμίσιον, κἀκεῖθεν ἐπὶ ποταμὸν Λάδωνα, τοῦτον διαβαίνειν μέλλουσαν τοξεύσας συνέλαβε, καὶ θέμενος ἐπὶ τῶν ὤμων διὰ τῆς Ἀρκαδίας ἠπείγετο καὶ ἐκόμισεν ἔμπνουν εἰς Μυκήνας.

ς'. Τέταρτον ἆθλον ἐπέταξεν αὐτῷ τὸν Ἐρυμάνθιον κάπρον ζῶντα κομίζειν· τοῦτο δὲ τὸ θηρίον ἠδίκει τὴν Φωκίδα, ὁρμώμενον ἐξ ὄρους, ὃ καλοῦσιν Ἐρύμανθον. Ἡρακλῆς δὲ ἐπὶ τὴν τοῦ κάπρου θήραν παραγίνεται καὶ διώξας αὐτὸν ἔκ τινος λόχμης μετὰ κραυγῆς εἰς χιόνα πολλὴν, παρειμένον ἐμβροχίσας ἐκόμισεν εἰς Μυκήνας.

ζ'. Πέμπτον ἐπέταξεν αὐτῷ ἆθλον τῶν Αὐγείου βοσκημάτων ἐν ἡμέρᾳ μιᾷ μόνον ἐκφορῆσαι τὴν ὄνθον. Ἦν δὲ Αὐγείας βασιλεὺς Ἤλιδος, πολλὰς δ' εἶχε βοσκημάτων ποίμνας. Τούτῳ προσελθὼν Ἡρακλῆς, οὐ δηλώσας τὴν Εὐρυσθέως ἐπιταγήν, ἔφασε μιᾷ ἡμέρᾳ τὴν ὄνθον ἐκφορήσειν, εἰ δώσει τὸν δεκάτην αὐτῷ τῶν βοσκημάτων. Αὐγείας δὲ ἀπιστῶν ὑπισχνεῖται Ἡρακλῆς δὲ τῆς τε οὐλῆς τὸ θεμέλιον διεῖλε καὶ τὸν Ἀλφειὸν ποταμὸν καὶ τὸν Πηνιὸν σύνεγγυς ῥέοντας παροχετεύσας ἐπήγαγεν, ἔκρουν δι' ἄλλης ἐξόδου ποιήσας. Μαθὼν δὲ Αὐγείας

ε'. Ἡρακλῆς βουλόμενος μήτε *ἀνελεῖν* μήτε *τρῶσαι* τὴν ἔλαφον *μέλλουσαν διαβαίνειν*.

ζ'. Ἡρ. ἔφασεν *ἐκφορήσειν*.

ὅτι κατ' ἐπιταγὴν Εὐρυσθέως τοῦτο ἐπιτετέλεσται, τὸν μισθὸν οὐκ ἀπεδίδου.

η'. Ἕκτον ἐπέταξεν ἆθλον αὐτῷ τὰς Στυμφαλίδας ὄρνιθας ἐκδιῶξαι. Ἦν δ' ἐν Στυμφάλῳ πόλει τῆς Ἀρκαδίας Στυμφαλὶς λεγομένη λίμνη πολλὴ συνηρεφὴς ὕλῃ· εἰς ταύτην ὄρνιθες συνέφυγον ἄπλετοι, τὴν ἀπὸ τῶν λύκων ὠρυγὴν δεδοικυῖαι. Ἀμηχανοῦντος οὖν Ἡρακλέους πῶς ἐκ τῆς ὕλης τὰς ὄρνιθας ἐκβαλῇ, χαλκᾶ κρόταλα δίδωσιν αὐτῷ Ἀθηνᾶ παρ' Ἡφαίστου λαβοῦσα. Ταῦτα κρούων ἐπί τινος ὄρους τῇ λίμνῃ παρακειμένου τὰς ὄρνιθας ἐφόβει· αἱ δὲ τὸν δοῦπον οὐχ ὑπομένουσαι μετὰ δέους ἀνίπταντο, καὶ τοῦτον τὸν τρόπον Ἡρακλῆς ἐτόξευσεν αὐτάς.

θ'. Ἕβδομον ἐπέταξεν ἆθλον τὸν Κρῆτα ἀγαγεῖν ταῦρον. Τοῦτον φασί τινες εἶναι τὸν ὑπὸ Ποσειδῶνος ἀναδοθέντα ἐκ θαλάσσης, ὅτε καταθύσειν Ποσειδῶνι Μίνως εἶπε τὸ φανὲν ἐκ τῆς θαλάσσης· θεασάμενον δὲ αὐτὸν τοῦ ταύρου τὸ κάλλος τοῦτον μὲν εἰς τὰ βουκόλια ἀποπέμψαι, θῦσαι δ' ἄλλον Ποσειδῶνι· ἐρ' εἷς ὀργισθέντα τὸν θεὸν ἀγριῶσαι ταῦρον. Ἐπὶ τοῦτον παραγενόμενος εἰς Κρήτην Ἡρακλῆς, ἐπειδὴ λαβεῖν ἀξιοῦντι Μίνως εἶπεν αὐτῷ λαμβάνειν διαγωνισαμένῳ, διαγωνισάμενος καὶ λαβὼν πρὸς Εὐρυσθέα διακομίσας ἔδειξε καὶ τὸ λοιπὸν εἴασεν ἄνετον· ὁ δὲ πλανηθεὶς Σπάρτην τε καὶ Ἀρκαδίαν ἅπασαν καὶ διαβὰς τὸν Ἰσθμὸν εἰς Μαραθῶνα τῆς Ἀττικῆς ἀφικόμενος τοὺς ἐγχωρίους διελυμαίνετο.

ι'. Ὄγδοον ἆθλον ἐπέταξεν αὐτῷ τὰς Διομήδους τοῦ Θρᾳκ-

θ'. (Τινές) φασιν *εἶναι* τοῦτον. Μίνως εἶπε *καταθύσειν* (φασὶ τὸν Μίνωα) *ἀποπέμψαι, θῦσαι*, (τὸν θεὸν) *ἀγριῶσαι*· ὁ Μίνως εἶπε (τῷ Ἡρακλεῖ) *λαμβάνειν* τῷ Ἡρακλεῖ ἀξιοῦντι *λαβεῖν*.

ι'. Ἡρ. παρέδωκεν Ἀβδήρῳ *φυλάσσειν*· Ἡρ. ἠνάγκαζε τοὺς λοιποὺς *φεύγειν*.

κὸς ἵππους εἰς Μυκήνας κομίζειν. Ἦν δὲ οὗτος Ἄρεως καὶ Κυρήνης, βασιλεὺς Βιστόνων, ἔθνους Θρᾳκίου μαχιμωτάτου, εἶχε δὲ ἀνθρωποφάγους ἵππους. Πλεύσας οὖν μετὰ τῶν ἑκουσίως συνεπομένων, βιασάμενος τοὺς ἐπὶ ταῖς φάτναις τῶν ἵππων ὑπάρχοντας ἤγαγεν ἐπὶ τὴν θάλασσαν. Τῶν δὲ Βιστόνων σὺν ὅπλοις ἐπιβοηθούντων, τὰς μὲν ἵππους παρέδωκεν Ἀβδήρῳ φυλάσσειν (οὗτος δὲ ἦν Ἑρμοῦ παῖς, Λοκρὸς ἐξ Ὀποῦντος, ὃν αἱ ἵπποι διέρθειραν ἐπισπασάμενοι), πρὸς δὲ τοὺς Βιστονας διαγωνισάμενος καὶ Διομήδην ἀποκτείνας, τοὺς λοιποὺς ἀνάγκαζε φεύγειν, καὶ κτίτας πόλιν Ἄβδηρον παρὰ τὸν τάφον τοῦ διαφθαρέντος Ἀβδήρου, τὰς ἵππους κομίσας Εὐρυσθεῖ ἔδωκε· μεθέντος δὲ αὐτὰς Εὐρυσθέως, εἰς τὸ λεγόμενον ὄρος Ὄλυμπον ἐλθοῦσαι πρὸς τῶν θηρίων ἀπώλοντο.

ια'. Ἔνατον ἆθλον Ἡρακλεῖ ἐπέταξε ζωστῆρα κομίζειν τὸν Ἱππολύτης. Αὕτη δ' ἐβασίλευεν Ἀμαζόνων, αἳ κατώκουν περὶ τὸν Θερμώδοντα ποταμόν, ἔθνος μέγα τὰ κατὰ πόλεμον, ἤσκουν γὰρ ἀνδρείαν. Εἶχε δὲ Ἱππολύτη τὸν Ἄρεως ζωστῆρα, σύμβολον τοῦ πρωτεύειν ἁπασῶν. Ἐπὶ τοῦτον τὸν ζωστῆρα Ἡρακλῆς ἐπέμπετο, λαβεῖν αὐτὸν ἐπιθυμούσης τῆς Εὐρυσθέως θυγατρὸς Ἀδμήτης. Παραλαβὼν οὖν ἐθελοντὰς συμμάχους ἐν μιᾷ νηῒ ἔπλει. Καταπλεύσαντος δ' αὐτοῦ εἰς τὸν ἐν Θεμισκύρᾳ λιμένα, παραγενομένης ὡς αὐτὸν Ἱππολύτης καὶ τίνος ἥκοι χάριν πυθομένης καὶ δῶσειν τὸν ζωστῆρα ὑπισχνουμένης, Ἥρα μιᾷ τῶν Ἀμαζόνων εἰσελθεῖσα τὸ πλῆθος ἀπεφοίτα λέγουσα «τὴν βασιλίδα ἁρπάζουσιν οἱ προσελθόντες ξένοι». Αἱ δὲ μεθ' ὅπλων ἐπὶ τὴν ναῦν κατέθεον σὺν ἵπποις. Ὡς δὲ εἶδεν αὐτὰς καθωπλισμένας Ἡρακλῆς, νομίσας ἐκ δόλου τοῦτο γενέσθαι, τὴν μὲν Ἱππολύτην κτείνας τὸν ζωστῆρα ἀφαιρεῖται, πρὸς δὲ

ια'. Τῆς Ἀδμήτης ἐπιθυμούσης *λαβεῖν*· Ἡρ. νομίσας τοῦ *γενέσθαι*.

τὰς λοιπὰς ἀγωνισάμενος ἀποπλεῖ καὶ κομίσας τὸν ζωστῆρα εἰς Μυκήνας ἔδωκεν Εὐρυσθεῖ.

ιβ'. Δέκατον δὲ ἐπεταχθη ἆθλον τὰς Γηρυόνου βοῦς ἐξ Ἐρυθείας κομίζειν. Ἐρύθεια δὲ ἦν Ὠκεανοῦ πλησίον κειμένη νῆσος, ἡ νῦν Γαδειρα καλεῖται. Ταύτην κατῴκει Γηρυόνης Χρυσάορος καὶ Καλλιρρόης τῆς Ὠκεανοῦ, τριῶν ἔχων ἀνδρῶν συμφυὲς σῶμα, συνηγμένον μὲν εἰς ἓν κατὰ τὴν γαστέρα, ἐσχισμένον δὲ εἰς τρεῖς ἀπο λαγόνων τε καὶ μηρῶν. Οὗτος εἶχε φοινικᾶς βοῦς, ὧν ἦν βουκόλος Εὐρυτίων, φύλαξ δὲ Ὄρθος ὁ κύων δικέφαλος ἐξ Ἐχίδνης καὶ Τυφῶνος γεγεννημένος. Πορευόμενος οὖν ἐπὶ τὰς Γηρυόνου βοῦς, διὰ τῆς Εὐρώπης, ἄγρια πολλὰ παρελθὼν Λιβύην ἐπέβαινε καὶ παρελθὼν Ταρτησσὸν ἔστησε σημεῖα τῆς πορείας ἐπὶ τῶν ὀρῶν Εὐρώπης καὶ Λιβύης ἀντιστοίχους δύο στήλας. Παραγενόμενος δὲ εἰς Ἐρύθειαν ἐν ὄρει Ἄβαντι αὐλίζεται. Ὁ κύων αἰσθόμενος ἐπ' αὐτὸν ὥρμα· ὁ δὲ καὶ τοῦτον τῷ ῥοπάλῳ παίει καὶ τὸν βουκόλον Εὐρυτίωνα τῷ κυνὶ βοηθοῦντα ἀπέκτεινεν. Γηρυόνης δὲ καταλοβὼν Ἡρακλέα παρὰ ποταμὸν Ἀνθεμοῦντα τὰς βοῦς ἀπάγοντα, συστησάμενος μάχην, τοξευθεὶς ἀπέθανεν. Ἡρακλῆς δὲ τὰς βοῦς Εὐρυσθεῖ κομίσας ἔδωκεν· ὁ δὲ αὐτὰς κατέθυσε τῇ Ἥρᾳ.

ιγ'. Τελεσθέντων δὲ τῶν ἄθλων ἐν ἐνὶ μηνὶ καὶ ἔτεσιν ὀκτώ, μὴ προσδεξάμενος Εὐρυσθεὺς τόν τε τῶν τοῦ Αὐγείου βουκημάτων καὶ τον τῆς ὕδρας ἑνδέκατον ἐπέταξεν ἆθλον παρ' Ἑσπερίδων χρυσα μῆλα κομίζειν. Ταῦτα δὲ ἦν ἐπὶ τοῦ Ἄτλαντος

ιγ'. Προμηθέως εἰπόντος τῷ Ἡρακλεῖ αὐτὸν μὴ *πορεύεσθαι*, ἀπο*στέλλειν* δὲ· ἐνταῦθα ἡ ἐννοουμένη αἰτιατικὴ *Ἡρακλέα* ὡς ὑποκείμενον τῶν ἀπαρεμφάτων ἀντικατεστάθη διὰ τῆς ἀντωνυμίας αὐτόν. Πλούτων δ' ἐπέταξεν (Ἡρακλεῖ) *ἄγειν*, ἔνθα συντάττομεν ὡς ἔξῆς· *ἄγειν* Ἡρακλέα κρατοῦντα (=ὃν κρατῇ) χωρὶς τῶν ὅπλων, ἃ εἶχε (ἰδὲ καὶ λεξικόν).

ἐν Ὑπερβορέοις, ἃ Δηλὶ ἐδωρήσατο Ἥρα κατὰ τὸν γάμον· ἐφύλασσε δ' αὐτὰ δράκων ἀθάνατος κεφαλὰς ἔχων ἑκατόν, φωναῖς δὲ ποικίλαις καὶ παντοίαις χρώμενος. Μετὰ τούτου δὲ ἑσπερίδες ἐφύλασσον, Αἴγλη, Ἐρύθεια, Ἑσπερία, Ἀρέθουσα. Πορευόμενος οὖν ἦκε πρὸς Νηρέα· συλλαβὼν δὲ αὐτὸν κοιμώμενον καὶ παντοίας ἐναλλάσσοντα μορφὰς ἔδησε καὶ οὐκ ἔλυσε, πρὶν μαθεῖν παρ' αὐτοῦ, ποῦ τυγχάνοιεν τὰ μῆλα καὶ αἱ ἑσπερίδες. Ὡς δ' ἦκεν εἰς Ὑπερβορέους πρὸς Ἄτλαντα, εἰπόντος Προμηθέως τῷ Ἡρακλεῖ αὐτὸν ἐπὶ τὰ μῆλα μὴ πορεύεσθαι, διαδεξάμενον δὲ Ἄτλαντος τὸν πόλον ἀποστέλλειν ἐκεῖνον, πεισθεὶς διεδέξατο. Ἄτλας δὲ δρεψάμενος παρ' ἑσπερίδων τρία μῆλα ἦκε πρὸς Ἡρακλέα· καὶ οὕτως ἀνελόμενος αὐτὰ Ἡρακλῆς ἀπηλλάττετο. Κομίσας δὲ τὰ μῆλα Εὐρυσθεῖ ἔδωκεν. Ὁ δὲ λαβὼν Ἡρακλεῖ ἐδωρήσατο, παρ' οὗ λαβοῦσα Ἀθηνᾶ πάλιν αὐτὰ ἀπεκόμισεν· ὅσιον γὰρ οὐκ ἦν αὐτὰ τεθῆναί που.

ιδ'. Δωδέκατον ἆθλον ἐπετάχθη Κέρβερον ἐξ Ἅιδου κομίζειν· εἶχε δὲ οὗτος τρεῖς μὲν κυνῶν κεφαλάς, τὴν δὲ οὐρὰν δράκοντος, κατὰ δὲ τοῦ νώτου παντοίων εἴχεν ὄφεων κεφαλάς. Παραγινόμενος οὖν ἐπὶ Ταίναρον τῆς Λακωνικῆς, οὗ τῆς εἰς Ἅιδου καταβάσεως τὸ στόμιόν ἐστι, διὰ τούτου κατῆλθε. Αἰτοῦντος δὲ αὐτοῦ Πλούτωνα τὸν Κέρβερον, ἐπέταξεν ὁ Πλούτων ἄγειν χωρὶς ὧν εἶχεν ὅπλων κρατοῦντα. Ὁ δὲ εὑρὼν αὐτὸν ἐπὶ ταῖς πύλαις τοῦ Ἀχέροντος, τῷ τε θώρακι συμπεφραγμένος καὶ τῇ λεοντῇ συσκεπασθείς καὶ περιβαλὼν τῇ κεφαλῇ τὰς χεῖρας οὐκ ἀνῆκε, καίπερ δακνόμενος ὑπὸ τοῦ κατὰ τὴν οὐρὰν δράκοντος, κρατῶν δ' ἐκ τοῦ τραχήλου καὶ ἄγχων τὸ θηρίον ἔπεισεν. Συλλαβὼν οὖν αὐτὸν ἦκε, διὰ Τροιζῆνος ποιησάμενος τὴν ἀνάβασιν· δείξας δ' Εὐρυσθεῖ τὸν Κέρβερον πάλιν ἐκόμισεν εἰς Ἅιδου.

ΑΙΛΙΑΝΟΥ

Κλαύδιος Αἰλιανὸς ἐκ τῆς Πραινέστου, πόλεως Γῆς Λατίνης, ἤκμασεν ἐπὶ Ἀδριανοῦ τὴν γ' μ. Χ. ἑκατονταετηρίδα. Ἐν τῇ ἰδίᾳ πατρίδι σπουδάσας τὴν ἑλληνικὴν γλῶσσαν ἀπέβη τέλειος ἑλληνιστής, μόλις διακρινόμενος τῶν γραφόντων τὴν ἀττικὴν διάλεκτον. Διὰ τοῦτο οἱ συμπολῖταί του ἐκάλουν αὐτὸν ***μελίγλωσσον*** καὶ ***μελίφθογγον***. Ἐν Ῥώμῃ ζῶν ἐπηγγέλλετο τὸν διδάσκαλον τῆς ῥητορικῆς, ἔγραψε δὲ καὶ τὴν ***Ποικίλην Ἱστορίαν***, ἥτις περιέχει ἐν βιβλίοις 14 ἀνέκδοτα ἱστορικά, ἀρχαιολογικά, βιογραφικά, τὰ ὁποῖα πάντα σήμερον θεωροῦνται πολύτιμα διὰ τὴν ἀπώλειαν τῶν πρώτων πηγῶν, ἐκ τῶν ὁποίων ταῦτα ἠρανίσθη.

ΠΟΙΚΙΛΗ ΙΣΤΟΡΙΑ

1. Ὅτε ἦκεν ἡ ναῦς ἡ ἐκ Δήλου καὶ ἔδει Σωκράτην ἀποθνήσκειν, ἀφίκετο εἰς τὸ δεσμωτήριον Ἀπολλόδωρος ὁ τοῦ Σωκράτους ἑταῖρος, χιτῶνά τε αὐτῷ φέρων ἐρίων πολυτελῆ καὶ εὐήτριον καὶ ἱμάτιον τοιοῦτο, καὶ ἠξίου ἐνδύντα τὸν χιτῶνα καὶ θοἱμάτιον περιβαλόμενον εἶτα οὕτω πιεῖν τὸ φάρμακον.

2. Μυρμηκίδου τοῦ Μιλησίου καὶ Καλλικράτους τοῦ Λακεδαιμονίου τὰ θαυμαζόμενα μικρὰ ἔργα ἐστὶ τάδε· τεθριππα ἐποίησαν ὑπὸ μυίας καλυπτόμενα, καὶ ἐν σησάμῳ δίστιχον ἐλεγεῖον χρυσοῖς γράμμασιν ἐπίγραψαν. Ὧν, ἐμοὶ δοκεῖν, ὁ

σπουδαίως εὐδέτερον ἐπαινέσεται· τί γὰρ ἄλλο ἐστὶ ταῦτα ἢ χρόνου παραναλωμα;

3. Ἀλέξανδρος ὁ Φιλίππου Φωκίωνι μόνῳ, τῷ Ἀθηναίων στρατηγῷ, γράφων προσετίθει τὸ χαίρειν· οὕτως ἄρα ἡρήκει τὸν Μακεδόνα ὁ Φωκίων. Ἀλλὰ καὶ τάλαντα αὐτῷ ἀργυρίου ἔπεμψεν ἑκατόν, καὶ πόλις τέτταρας ὠνόμασεν, ὧν ἡξίου μίαν, ἣν βούλεται, προελέσθαι αὐτόν, ἵνα ἔχοι καρποῦσθαι τὰς ἐκεῖθεν προσόδους. Ὁ μὲν οὖν Ἀλέξανδρος μεγαλοφρόνως ταῦτα καὶ μεγαλοπρεπῶς· ἔτι γε μὴν μεγαλοφρονέστερον ὁ Φωκίων, μήτε τὸ ἀργύριον προσιέμενος μήτε τὴν πόλιν.

4. Ἀλέξανδρος θεασάμενος τὴν ἐν Ἐφέσῳ εἰκόνα ἑαυτοῦ, τὴν ὑπὸ Ἀπελλοῦ γραφεῖσαν, οὐκ ἐπῄνεσε κατὰ τὴν ἀξίαν τοῦ γράμματος. Εἰσαχθέντος δὲ τοῦ ἵππου καὶ χρεμετίσαντος πρὸς τὸν ἵππον τὸν ἐν τῇ εἰκόνι ὡς πρὸς ἀληθινὸν καὶ ἐκεῖνον, «ὦ βασιλεῦ», εἶπεν ὁ Ἀπελλῆς, «ἀλλ' ὄγε ἵππος ἔοικέ σου γραφικώτερος εἶναι κατὰ πολύ».

5. Τιμόθεος ὁ Κόνωνος, ὁ στρατηγὸς τῶν Ἀθηναίων, ἀποστὰς ποτε τῶν δείπνων τῶν πολυτελῶν καὶ τῶν ἑστιάσεων τῶν στρατηγικῶν, παραληφθεὶς ὑπὸ Πλάτωνος εἰς τὸ ἐν Ἀκαδημίᾳ συμπόσιον καὶ ἑστιαθεὶς ἀφελῶς ἅμα καὶ μουσικῶς, ἔφη πρὸς τοὺς οἰκείους ἐπανελθών, ὅτι οἱ παρὰ Πλάτωνι δειπνοῦντες καὶ τῇ ὑστεραίᾳ καλῶς διάγουσιν. Ἐκ δὴ τούτου διέβαλλε Τιμόθεος τὰ πολυτελῆ δεῖπνα καὶ φορτικὰ ὡς πάντως ἐς τὴν ὑστεραίαν οὐκ εὐρραίνοντα.

6. Πιττακὸς ἐν Μιτυλήνῃ κατεσκεύασεν ἐν τοῖς ἱεροῖς κλίμακας ἐς οὐδεμίαν μὲν χρῆσιν ἐπιτηδείους, αὐτὸ δὲ τοῦτο ἀναθήματα εἶναι, αἰνιττόμενος τὴν ἐκ τῆς τύχης ἄνω καὶ κάτω μετάπτωσιν, τρόπον τινὰ τῶν μὲν εὐτυχούντων ἀνιόντων, κατιόντων δὲ τῶν δυστυχούντων.

7. Ὅτε ἑάλω τὸ Ἴλιον, οἰκτείραντες οἱ Ἀχαιοὶ τὰς τῶν ἁλισκομένων τύχας, καὶ πάνυ ἑλληνικῶς τοῦτο ἐκήρυξαν, ἕκαστον τῶν ἐλευθέρων ἓν ὅ,τι καὶ βούλεται τῶν οἰκείων ἀποφέρειν ἀράμενον. Ὁ οὖν Αἰνείας τοὺς πατρῴους θεοὺς βαστάσας ἔφερεν, ὑπεριδὼν τῶν ἄλλων. Ἡσθέντες οὖν οἱ Ἕλληνες ἐπὶ τῇ τοῦ ἀνδρὸς εὐσεβείᾳ, καὶ δεύτερον αὐτῷ κτῆμα συνεχώρησαν λαβεῖν· ὁ δὲ τὸν πατέρα πάνυ σφόδρα γεγηρακότα ἀναθέμενος τοῖς ὤμοις ἔφερεν. Ὑπερεκπλαγέντες οὖν καὶ ἐπὶ τούτῳ οὐχ ἧκιστα, πάντων αὐτῷ τῶν οἰκείων κτημάτων ἀπέστησαν, ὁμολογοῦντες ὅτι πρὸς τοὺς εὐσεβεῖς τῶν ἀνθρώπων καὶ τοὺς θεοὺς καὶ τοὺς γειναμένους δι' αἰδοῦς ἄγοντας καὶ οἱ φύσει πολέμιοι γίνονται ἥμεροι.

8. Ὁρῶν ὁ Σωκράτης τὸν Ἀλκιβιάδην τετυφωμένον ἐπὶ τῷ πλούτῳ καὶ μέγα φρονοῦντα ἐπὶ τῇ περιουσίᾳ καὶ ἔτι πλέον ἐπὶ τοῖς ἀγροῖς, ἤγαγεν αὐτὸν εἴς τινα τῆς πόλεως τόπον, ἔνθα ἀνέκειτο πινάκιον ἔχον γῆς περίοδον, καὶ προσέταξε τῷ Ἀλκιβιάδῃ τὴν Ἀττικὴν ἐνταῦθα ἀναζητεῖν. Ὡς δ' εὗρε, προσέταξεν αὐτῷ τοὺς ἀγροὺς τοὺς ἰδίους διαθρῆσαι· τοῦ δὲ εἰπόντος, «ἀλλ' οὐδαμοῦ γεγραμμένοι εἰσίν»· ἐπὶ τούτοις οὖν, εἶπε, «μέγα φρονεῖς, οἷπερ οὐδὲν μέρος τῆς γῆς εἰσιν;».

9. Ἐπαμινώνδας ἕνα εἶχε τρίβωνα καὶ αὐτὸν ῥυπῶντα· εἰ ποτε δὲ αὐτὸν ἔδωκεν εἰς κναφεῖον, αὐτὸς ὑπέμενεν οἴκοι δι' ἀπορίαν ἑτέρου. Ἐν δὴ τούτῳ τῆς περιουσίας ὢν, τοῦ Περσῶν βασιλέως πέμψαντος αὐτῷ πολὺ χρυσίον, οὐ προσήκατο· καὶ εἴ τι ἐγὼ νοῶ, μεγαλοφρονέστερος ἦν τοῦ διδόντος ὁ μὴ λαβών.

10. Χίονος ποτὲ πιπτούσης, ἤρετο ὁ βασιλεὺς τῶν Σκυθῶν γυμνόν τινα διακαρτεροῦντα, εἰ ῥιγοίη· ὁ δὲ αὐτὸν ἀντήρετο, εἰ τὸ μέτωπον ῥιγοίη. Τοῦ δὲ οὐ φήσαντος, οὐκοῦν, εἶπεν, οὐδὲ ἐγὼ πᾶς γὰρ μέτωπόν εἰμι.

11. Ἡνίκα τῆς θαλάττης ἦρξαν Μιτυληναῖοι, τοῖς ἀριστα-μένοις τῶν συμμάχων τιμωρίαν ἐκείνην ἐπήρτησαν, γράμματα μὴ μανθάνειν τοὺς παῖδας αὐτῶν μηδὲ μουσικὴν διδάσκεσθαι, πασῶν κολάσεων ἡγησάμενοι βαρυτάτην εἶναι ταύτην, ἐν ἀ-μουσίᾳ καὶ ἀμαθείᾳ καταβιῶναι.

12. Θεμιστοκλῆς ὁ Νεοκλέους ἑαυτὸν εἶκαζε ταῖς δρυσίν, λέγων ὅτι καὶ ἐκείνας ὑπέρχονται οἱ ἄνθρωποι καὶ δέονται αὐ-τῶν, εἰ ὗοι, στέγην τὴν ἐκ τῶν κλάδων ποθοῦντες· ὅταν δέ, οὔσης εὐδίας, παρίωσι, τίλλουσιν αὐτὰς καὶ περικλῶσιν. Καὶ αὐτὸς οὖν ἔλεγεν ὑπὸ τοῦ δήμου τὰ αὐτὰ πάσχειν.

13. Μειράκιον Ἐρετρικὸν προσεφοίτησε Ζήνωνι πλείονος χρόνου, ἔστ' ἐς ἄνδρας ἀφίκετο. Ὕστερον οὖν εἰς τὴν Ἐρε-τρίαν ἐπανῆλθε καὶ αὐτὸν ὁ πατὴρ ἤρετο, ὅ,τι ἄρα μάθοι σο-φὸν ἐν τῇ τοσαύτῃ διατριβῇ τοῦ χρόνου· ὁ δὲ δείξειν ἔφη καὶ οὐκ ἐς μακρὰν ἔδρασε τοῦτο. Χαλεπήναντος γὰρ αὐτῷ τοῦ πατρὸς καὶ τέλος πληγὰς ἐντείναντος, οὗτος τὴν ἡσυχίαν ἀ-γαγὼν καὶ ἐγκαρτερήσας ἔφη, Τοῦτο μεμαθηκέναι, ῥᾴειν ὀργὴν πατέρων καὶ μὴ ἀγανακτεῖν.

14. Ἦλγει τὸν ὦμον Διογένης τρωθείς, οἶμαι, ἢ ἐξ ἄλλης τινὸς αἰτίας. Ἐπεὶ δὲ ἐδόκει σφόδρα ἀλγεῖν, τῶν τις ἀχθο-μένων αὐτῷ κατεκερτόμει λέγων· *Τί οὖν οὐκ ἀποθῄσκεις, ὦ Διόγενες, καὶ σαυτὸν ἀπαλλάττεις κακῶν;* Ὁ δὲ εἶπε· *Τοὺς εἰδότας ἃ δεῖ πράττειν ἐν τῷ βίῳ καὶ ἃ δεῖ λέγειν, τούτους γε ζῆν προσήκει, ὧν καὶ αὐτὸς ὡμολόγει εἶναι. Σοὶ μὲν οὖν, ἔφη, οὐκ εἰδότι τά τε λικτέα καὶ τὰ πρακτέα, ἀποθανεῖν ἐν καλῷ ἐστιν· ἐμὲ δὲ τὸν ἐπιστήμονα ἐκείνων πρέπει ζῆν.*

15. Φωκίων πένης ἦν· Ἀλεξάνδρου δὲ πέμψαντος αὐτῷ τάλαντα ἑκατὸν ἠρώτα, *Διά τίνα αἰτίαν μοι δίδωσιν;* Ὡς δὲ

εἶπον, ὅτι *μόνον αὐτὸν Ἀθηναίων ἡγεῖται καλὸν κἀγαθόν*, *Οὐκοῦν*, ἔφη, *ἐασάτωμε τοιοῦτον εἶναι.*

16. Ἰσχυρῶς Ὅμηρον ἐθαύμαζεν Ἀλκιβιάδης, καὶ ποτε διδασκαλείῳ παίδων προσελθὼν ῥαψῳδίαν ᾔτει. Τοῦ δὲ δι-δασκάλου μηδὲν ἔχειν Ὁμήρου φήσαντος, ἐντρίψας αὐτῷ κόν-δυλον εὖ μάλα στερεὸν παρῆλθεν, ἐνδειξάμενος ὅτι ἐκεῖνος ἀπαίδευτός ἐστι καὶ τοιούτους ἀποφαίνει τοὺς παῖδας.

17. Δύο εἰκόνας εἰργάσατο Πολύκλειτος κατὰ τὸ αὐτό, τὴν μὲν τοῖς ὄχλοις χαριζόμενος, τὴν δὲ κατὰ τὸν νόμον τῆς τέχνης. Ἐχαρίζετο δὲ τοῖς πολλοῖς τὸν τρόπον τοῦτον· καθ' ἕκαστον τῶν ἐτιόντων μετετίθει τι καὶ μετεμόρφου πειθόμενος τῇ ἑκάστου ὑφηγήσει. Προύθηκεν οὖν ἀμφοτέρας· καὶ ἡ μὲν ὑπὸ πάντων ἐπῃνεῖτο, ἡ δὲ ἑτέρα ἐγελᾶτο. Ὑπολαβὼν οὖν ἔφη ὁ Πολύκλειτος· *ἀλλὰ ταύτην μέν, ἣν ᾄγετε, ὑμεῖς ἐποιήσατε· ταύτην δέ, ἣν θαυμάζετε, ἐγώ.*

ΕΚ ΤΟΥ ΑΝΘΟΛΟΓΙΟΥ

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ

Ὁ Στοβαῖος ἐγεννήθη ἐν Στόβοις, πόλει τῆς Μακεδονίας, πιθανῶς τὴν Ε' μ. Χ. ἑκατονταετηρίδα. Περὶ αὐτοῦ γινώσκομεν μόνον ὅτι κατέλιπε σύγγραμμα καλούμενον *ἀνθολόγιον ἐκλογῶν ἀποφθεγμάτων* καὶ *ὑποθηκῶν*, ἐράνισμα ἐκ πλείστων ἀρχαίων συγγραμμάτων.

1. Οὔτε ἵππος ἐπὶ φάτνῃ καὶ φαλάροις καὶ τάπησιν, οὔτε ὄρνις ἐπὶ βρώμῃ καὶ καλιᾷ ὑψοῦται καὶ γαυριᾷ, ἀλλ' ἄμφω ἐπὶ ὠκύτητι, ὁ μὲν ποδῶν, ὁ δὲ πτερῶν. Καὶ σὺ τοιγαροῦν μὴ ἐπὶ τροφῇ καὶ σκέπῃ καὶ ἁπλῶς τῇ ἔξωθεν περιουσίᾳ μάταια ὄγκου, ἀλλ' ἐπὶ χρηστότητι καὶ εὐποΐᾳ (Α. σ. 136,91).

2. Ἀθηναῖοι πρὸς Θρᾷκας πόλεμον ἔχοντες, στρατηγὸν ἐχειροτόνησαν Κόδρον. Οὗτος ἀκούσας ὅτι χρησμὸν εἰλήφασιν οἱ πολέμιοι, ἐγκρατεῖς γενήσεσθαι τῆς νίκης αὐτούς, ἐὰν τοῦ στρατηγοῦ φείσωνται Ἀθηναῖων, ἐν δρυτόμου σχήματι συνέβαλε μάχην μετά τινων Θρᾳκῶν ξυλιζομένων, καὶ τῷ δρεπάνῳ καιρίως ἐξ αὐτῶν ἕνα πλήξας ἀνεῖλεν· οἱ δὲ λοιποὶ τὴν περίστασιν τοῦ στρατηγήματος μὴ γινώσκοντες, ἀπέκτειναν τὸν Κόδρον θέλοντα· συμβαλόντες δὲ τὸν πόλεμον Ἀθηναῖοι, τῆς νίκης ἐγκρατεῖς ἐγένοντο (Τόμ. Α. σελ. 176,66).

3. Πυθαγόρας ἐρωτηθείς, *Τί ποιοῦσιν ἄνθρωποι θεοῖς ὅμοιον*, ἔφη, *Ἐὰν ἀληθεύωσιν*. Οἱ δὲ μάγοι ἀποφαίνονται τοῦ μεγίστου τῶν θεῶν, ὃν Ὡρομάζδην καλοῦσιν, εἰκέναι τὸ μὲν σῶμα φωτί, τὴν δὲ ψυχὴν ἀληθείᾳ (Τόμ. Α. σελ. 254,25).

4. Ἑορτῆς οὔσης παρὰ τοῖς Ἀθηναίοις, ἐφιλοτιμήσατο ὁ Ἀλκιβιάδης δῶρα πολλὰ πέμψαι Σωκράτει. Τῆς οὖν Ξανθίππης καταπλαγείσης καὶ τὸν Σωκράτη λαβεῖν αὐτὰ ἀξιούσης, ἔφη· Ἀλλὰ καὶ ἡμεῖς τῇ τοῦ Ἀλκιβιάδου φιλοτιμίᾳ παραταξόμεθα, μὴ λαβεῖν τὰ πεμφθέντα ἀντιφιλοτιμησάμενοι (Τόμ. Α', σ. 282,17.)

5. **Πιττακὸς** ἀδικηθεὶς ὑπό τινος καὶ ἔχων ἐξουσίαν αὐτὸν κολάσαι, ἀφῆκεν εἰπών: Συγγνώμη τιμωρίας ἀμείνων· τὸ μὲν γὰρ ἡμέρου φύσεώς ἐστι, τὸ δὲ θηριώδους (Τόμ. Α. σ. 505,14.)

6. **Δημοσθένης** ὁ Δημοσθένους, εἰ ἔμελλε τῆς ὑστεραίας ἔσεσθαι ἐκκλησίας, διὰ τῆς νυκτὸς ἠγρύπνει πάσης, διαφροντίζων καὶ ἐκμανθάνων ταῦτα, ἃ ἔμελλεν ἐρεῖν. Ὁ τοίνυν Πυθίας ἐκ τούτων, ἐμοὶ δοκεῖν, ἀπέσκωπτεν εἰς αὐτόν, ἐπιλέγων αὐτοῦ τὰ ἐνθυμήματα ἐλλυχνίων ὄζειν (Τ. Β', σ. 7,60).

7. **Διονύσιος** λακωνικὸν μάγειρον πριάμενος, ἐκέλευσεν αὐτὸν σκευάσαι τὸν λακωνικὸν ζωμόν· καὶ σκευάσαντος, οὐκ ἤσθιεν, ἤρετο δὲ κατά τί αὐτῷ ἥδονται ἀηδεστάτῳ ὄντι οἱ Λάκωνες· ὁ δεῦπνον ἔχειν, ἔφη, τοῦτον τὰ ἡδύσματα, ἄλλος ἐκεῖνος ἔχει· διὰ τοῦτο αὐτῷ μὴ ἀρέσαι. Καὶ ὃς ἐπύθετο. Τίνα εἴη ταῦτα· αὐτὸν γὰρ κελεῦσαι τῷ ταμίᾳ πάντα ἔκπλεα αὐτῷ δοῦναι. Ὁ δὲ εἶπεν· Ἃ μὴ ἔστι παρὰ σοί, πρὸ τοῦ δείπνου πόνοι καὶ τὸ ἐν τῷ Εὐρώτᾳ λουτρόν (Τόμ. Β' σ. 21,100).

8. **Ζήνων.** Ἀντιγόνου πρέσβεις Ἀθήναζε πέμψαντος, κληθεὶς ὑπ' αὐτῶν σὺν ἄλλοις φιλοσόφοις ἐπὶ δεῖπνον, κἀκείνων παρὰ πότον σπευδόντων ἐπιδείκνυσθαι τὴν αὐτῶν ἕξιν, αὐτὸς ἐσίγα. Τῶν δὲ πρέσβεων ζητούντων Τί ἀπαγγείλωσι περὶ αὐτοῦ πρὸς Ἀντίγονον, Τοῦτ' αὐτό, ἔφη, ὃ βλέπετε·

δυσκρατέστατον γὰρ πάντων ὁ λόγος (Τόμ. Β' σ. 32,10).

9. **Σόλων** ἐρωτηθεὶς ὑπὸ Περιανδρου παρὰ πότον, ἐπεὶ σιωπῶν ἐτύγχανε, πότερα διὰ λόγων σπάνιν ἢ διὰ μωρίαν σιωπᾷ· ἀλλ' οὐδεὶς ἄν, εἶπε, μωρὸς ἐν συμποσίῳ σιωπᾶν δύναιτο (Τόμ. Β' σ. 35,15).

10. Τοσούτῳ εἰσὶν οἱ φθονεροὶ δυστυχέστεροι τῶν ἄλλων, ὅσον οἱ μὲν ἐπὶ ταῖς αὑτῶν συμφοραῖς ἀλγοῦσιν, εἰ δὲ φθονοῦντες πρὸς τοῖς ἑαυτῶν κακοῖς καὶ ἐπὶ τοῖς τῶν ἄλλων ἀγαθοῖς λυποῦμενοι διατελοῦσιν (Τόμ. Β' σ. 52,43).

11. **Ζάλευκος** ὁ τῶν Λοκρῶν νομοθέτης τοὺς νόμους ἔρησε τοῖς ἀρχηγέταις ὁμοίους εἶναι· ὥσπερ γὰρ εἰς ἐκεῖνα, ἐὰν μὲν ἐμπέσῃ μυῖα ἢ κώνωψ, κατέχεται, ἐὰν δὲ σφὴξ ἢ μέλιττα, διαρρήξασα ἀρίπταται, οὕτω καὶ εἰς τοὺς νόμους, ἐὰν μὲν ἔμπεσῃ πένης, συνέχεται, ἐὰν δὲ πλούσιος ἢ δυνατὸς λέγειν, διαρρήξας ἀποτρέχει (Τόμ. Β' σ. 220,42).

13. Πολλάκις καὶ ἄλλοτε κατενόησα, ὅτι ἄρχων ἀγαθὸς οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ. Οἵ τε γὰρ πατέρες προνοοῦσι τῶν παίδων, ὅπως μήποτε αὐτοὺς τἀγαθὰ ἐπιλείψῃ. Κῦρός τε μοι δοκεῖ νῶν συμβουλεύειν ἡμῖν, ἀφ' ὧν ἂν μάλιστα εὐδαιμονοῦντες διατελοῖμεν (Τόμ. Β' σ. 240,108).

14. Περὶ πλείονος ποιοῦ δόξαν καλὴν ἢ πλοῦτον μέγαν τοῖς πασὶ καταλιπεῖν· ὁ μὲν γὰρ θνητός, ἡ δ' ἀθάνατος, καὶ δόξῃ μὲν χρήματα κτητά, δόξα δὲ χρημάτων οὐκ ὠνητή· καὶ τὰ μὲν καὶ τοῖς φαύλοις παραγίγνεται, τὴν δὲ οὐχ οἷόν τε, ἀλλ' ἢ τοὺς διενεγκόντας κτήσασθαι (Τ. Β' σ. 255,28).

15. **Δημάδης** ὁ ῥήτωρ ληφθεὶς αἰχμάλωτος ἐν τῇ κατὰ Χαιρώνειαν μάχῃ ὑπὸ Φιλίππου καὶ συσταθεὶς αὐτῷ, ἐκείνου παρὰ πότον σεμνυνομένου, ποῦ ἡ εὐγένεια καὶ ἡ ὑπεροχὴ τῆς Ἀθηναίων πόλεως, ἔγνως ἄν, ἔφη, ὦ βασιλεῦ, τὴν τῆς πόλεως δύναμιν, εἰ Ἀθηναίων μὲν Φίλιππος, Μακεδόνων δὲ Χάρης ἐστρατήγει (Τόμ. Β. σ. 326,47).

16. **Σκίλουρος** ὀγδοήκοντα παῖδας ἄρρενας ἀπολιπών, ἐπειδὴ τελευτᾶν ἤμελλε, δέσμην ἀκοντίων ἑκάστῳ προτείνων, ἐκέλευε καταθρῦψαι. Πάντων δὲ ἀπαγορευσάντων, καθ' ἓν αὐτὸς ἕλκων ἀκόντιον πάντα ῥᾳδίως ἔκλασε, διδάσκων ἐκείνους ὅτι συνεστῶτες μὲν καὶ ὁμονοοῦντες ἰσχυροὶ διαμένουσιν, ἀσθενεῖς δ' ἔσονται διαλυθέντες (Τ. Γ' σ. 127,16).

17. **Διογένης**, πυνθανομένου τινός, Τίνες τῶν ἀνθρώπων εὐγενέστατοι, Οἱ καταφρονοῦντες, εἶπε, πλούτου, δόξης, ἡδονῆς, ζωῆς, τῶν δὲ ἐναντίων ὑπεράνω ὄντες, πενίας, ἀδοξίας, πόνου καὶ θανάτου (Τ. Γ' σ. 158,19).

18. Ἡ Σωκράτους ἀδοξία, μαίας καὶ ἑρμογλύφου πατρός, οὐκ ἦν εὐγενεστέρα τῆς Σαρδαναπάλου δόξης; μὴ σύ γε νόμιζε, ὅτι Ξέρξης εὐγενέστερος ἦν Κυναιγείρου· ὁ μὲν γὰρ ὑπὲρ τῆς ἰδίας πατρίδος ἀπεκόπη τὴν χεῖρα, ὁ δ' ὑπὲρ τοῦ ζῆν ἔφυγεν, ἀντὶ τῆς μεγάλης βασιλείας περικείμενος δειλίαν (Τ. Γ' σ. 159,22).

19. Οὔτε σῖτον ἄριστον ἐκ τοῦ καλλίστου πεδίου κρίνομεν, ἀλλὰ τὸν εὔθετον πρὸς τὴν τροφήν, οὔτε ἄνδρα σπουδαῖον τὸν ἐξ ἐπιφανοῦς ὄντα γένους, ἀλλὰ τὸν ὑπάρχοντα τῷ τρόπῳ κρείττονα (Τ. Γ' σ. 159,23).

20. **Κροῖσος** ὀργισθεὶς τῷ Σόλωνι εἶπεν· Ὦ ξένε Ἀθηναῖε, ἡ δὲ ἡμετέρα εὐδαιμονία οὕτω σοι ἀπέρριπται εἰς τὸ μηδέν, ὥστε οὔτε ἰδιωτῶν ἀξίους ἡμᾶς ἐποίησας; Ὁ δὲ Σόλων εἶπεν· Ὦ Κροῖσε, ἐπηρώτας με περὶ ἀνθρωπίνων πραγμάτων, ἐπιστάμενον τὰς ἀδοκήτους μεταβολάς· ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ μὲν ἔστιν ἰδεῖν, ἃ μή τις ἐθέλει, πολλὰ δὲ καὶ παθεῖν. Πᾶσα τοῦ βίου ἡμέρα οὐδὲν ὅμοιον εἰσάγει πρᾶγμα.

Ὁ μέγα πλούσιος οὐκ ἔστιν ὀλβιώτερος τοῦ ἐφ' ἡμέραν ἔχοντος· ἐκεῖνον δὲ λέγω εὐδαίμονα, ὃς ἂν τελευτήσῃ καλῶς τὸν βίον, ἔχων πάντα τὰ ἀγαθά.

21. **Ἀναξαγόρα** τις τῷ Κλαζομενίῳ σπουδάζοντι πρὸς τοὺς ἑτέρους προσελθὼν ἔφη τεθνηκέναι αὐτῷ τοὺς δύο παῖδας, οὓς περ οὖν καὶ εἶχε μόνους. Ὁ δὲ μηδὲν διαταραχθεὶς εἶπεν· Ἤδειν θνητοὺς αὐτοὺς γεγεννηκώς (Τ. Γ' σ. 308,62).

22. **Γοργίας** ὁ Λεοντῖνος ἐπὶ τέρματι ὢν τοῦ βίου, ὑπ' ἀσθενείας καταληφθείς, κατ' ὀλίγον εἰς ὕπνον ὑπολισθαίνων ἔκειτο· εἰ δέ τις αὐτὸν τῶν ἐπιτηδείων ἤρετο, τί πράττοι, ὁ Γοργίας ἀπεκρίνατο. Ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τῷ ἀδελφῷ (Τ. Γ' σ. 364,23).

23. Οἱ Πυθαγόρειοι διήρουν τὰς τῶν ἀνθρώπων ἡλικίας εἰς τέσσαρα μέρη, παιδός, νέου, ἀνδρὸς καὶ γέροντος· καὶ ἐκ τούτων τῶν ἡλικιῶν ἑκάστην ὁμοίαν ἔφασαν εἶναι ταῖς τῶν ὡρῶν τοῦ ἔτους μεταβολαῖς, τὸ μὲν ἔαρ τῷ παιδί, διδόντες, τὸ δὲ θέρος τῷ νεανίσκῳ, φθινόπωρον τῷ ἀνδρί, τὸν δὲ χειμῶνα τῷ γέροντι (Παραρτ. σ. 415,5).

24. **Διογένης** ἔλεγε τὴν τῶν παίδων ἀγωγὴν ἐοικέναι τοῖς τῶν κεραμέων πλάσμασιν· ὡς γὰρ ἐκεῖνοι ἁπαλὸν μὲν τὸν πηλὸν ὄντα ὡς θέλουσι σχηματίζουσι καὶ ῥυθμίζουσιν, ὀπτηθέντα δ' οὐκέτι δύνανται πλάσσειν, οὕτω καὶ τοὺς ἐν νεότητι μὴ διὰ πόνων παιδαγωγηθέντας, τελείους γενομένους, ἀμεταπλάστους γίγνεσθαι (Παραρτ. σ. 445).

25. Τὸ ἀληθὲς πικρόν ἐστι καὶ ἀηδὲς τοῖς ἀνοήτοις, τὸ δὲ ψεῦδος γλυκὺ καὶ προσηνές, ὥσπερ γε, οἶμαι, καὶ τοῖς νοσοῦσι τὰ ὄμματα τὸ μὲν φῶς ἀνιαρόν, τὸ δὲ σκότος ἄλυπον καὶ φίλον, οὐκ ἐῶν βλέπειν (Παραρτ. σ. 489).

ΕΚ ΤΩΝ ΑΘΗΝΑΙΟΥ ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ

Ὁ Ἀθήναιος, φιλόσοφος καὶ γραμματικὸς ἐκ Ναυκράτιδος, πόλεως τῆς Αἰγύπτου, ἔζησε περὶ τὰς ἀρχὰς τοῦ γ' μ. Χ. αἰῶνος. Γράψας συμπόσιον σοφῶν ἐν 15 βιβλίοις ἐπιγεγραμμένον *Δειπνοσοφισταί*, ἔλαβεν ἐκ τοῦ τίτλου τούτου τὸ ὄνομα *Δειπνοσοφιστής*. Ἐν τῷ συγγράμματι τούτῳ εἰσάγει ἄνδρας σοφοὺς περὶ διαφόρων ζητημάτων διαλεγομένους ἐν τῇ οἰκίᾳ πλουσίου τινὸς καὶ πεπεδευμένου Ρωμαίου, ὅστις ὀνομάζετο *Λαυρέντιος*.

1. **Δαμασκηνά.** Τῆς πόλεως Δαμασκοῦ ἐνδόξου οὔσης καὶ μεγάλης πολλοὶ τῶν ἀρχαίων μέμνηνται. Ἐπεὶ δὲ πλεῖστον ἐν τῇ τῶν Δαμασκηνῶν χώρᾳ ἐστὶ τὸ καλούμενον κοκκύμηλον καὶ κάλλιστα γεωργεῖται, ἰδίως καλεῖται τὸ ἀκρόδρυον *δαμασκηνόν*, ὡς διάφορον τῶν κατὰ τὰς ἄλλας χώρας γινομένων (Βιβλ. Α' σελ. 88).

2. **Ἐλάαι.** Οἱ Ρωμαῖοι ταύτας λέγουσι *δρύππας*. Δίφιλος δὲ ὁ Σίφνιος φησι τὰς ἐλάας ὀλιγοτρόπους εἶναι καὶ κεραλαγεῖς, τὰς δὲ μελαίνας καὶ κακοστομαχωτέρας καὶ τὴν κεφαλὴν βαρύνειν, τὰς δὲ *κολυμβάδας* καλουμένας εὐστομαχωτέρας εἶναι, τὰς δὲ *θλαστὰς* μελαίνας εὐστομαχωτέρας εἶναι (Βιβλ. Α', σ. 100).

3. **Κλεοπάτρα** ἡ τελευταία τῆς Αἰγύπτου βασιλεύσασα, Ἀντωνίῳ τῷ Ῥωμαίων στρατηγῷ ἐν Κιλικίᾳ ἀπαντήσασα παρεσκεύασεν αὐτῷ βασιλικὸν συμπόσιον, ἐν ᾧ πάντα χρυσᾶ καὶ λιθοκόλλητα, περιττῶς ἐξειργασμένα ταῖς τέχναις· ἦσαν δὲ

καὶ οἱ τοῖχοι ἀλουργέσι καὶ διαχρύσοις ἐμπεπετασμένοι ὑρεσι. Καὶ δώδεκα τρίκλινα διαστρώσασα, ἑκάλεσε τὸν Ἀντώνιον μεθ' ὧν ἐβούλετο ἡ Κλεοπάτρα. Τοῦ δὲ τῇ πολυτελείᾳ τῆς ὄψεως ἐκπλαγέντος, ὑπομειδιάσασα, ταῦτ' ἔφη πάντα δωρεῖσθαι αὐτῷ καὶ εἰς αὔριον παρεκάλει συνδειπνῆσαι πάλιν, ἥκοντα μετὰ τῶν φίλων καὶ ἡγεμόνων· ὅτε καὶ πολλῷ κρεῖττον διακοσμήσασα τὸ συμπόσιον ἐποίησε φανῆναι τὰ πρῶτα μικρά, καὶ πάλιν ταῦτα ἐδωρήσατο. Τῶν δ' ἡγεμόνων ἐφ' ᾧ ἕκαστος κατέκειτο κλίνῃ καὶ τὰ κυλικεῖα, καθὼς καὶ ταῖς στρωμναῖς ἐμεμέριστο, ἑκάστῳ φέρειν ἐπέτρεψεν (Βιβλ. Δ' σ. 265).

4. Οἱ **Ἀρεοπαγῖται** τοὺς ἀσώτους καὶ μὴ ἔκ τινος περιουσίας ζῶντες ἀνακαλούμενοι ἐκόλαζον. Καὶ Μενέδημον δέ καὶ Ἀσκληπιάδην τοὺς φιλοσόφους, νέους ὄντας καὶ πενομένους, μεταπεμψάμενοι ἠρώτησαν, πῶς ὅλας τὰς ἡμέρας τοῖς φιλοσόφοις σχολάζοντες, κεκτημένοι δὲ μηδέν, εὐεκτοῦσιν οὕτω τοῖς σώμασι· καὶ οἱ ἐκέλευσαν μεταπεμφθῆναί τινα τῶν μυλωθρῶν. Ἐλθόντος δ' ἐκείνου καὶ εἰπόντος ὅτι ἑκάστης νυκτὸς κατιόντες εἰς τὸν μυλῶνα καὶ ἀλοῦντες δύο δραχμὰς ἀμφότεροι λαμβάνουσι, θαυμάσαντες οἱ Ἀρεοπαγῖται διακοσίαις δραχμαῖς ἐτίμησαν αὐτούς (Βιβλ. Δ' σ. 300).

5. **Φιλόξενος** ὁ παράσιτος πυρὰ Πυθῶνι ἀριστῶν, παρακειμένων ἐλαῶν καὶ μετὰ μικρὸν προσενεχθείσης λοπάδος ἰχθύων, πατάξας τὸ τυβλίον ἔφη· «Μάττιζεν δ' ἐλάαν». Ἐν δείπνῳ δέ, τοῦ καλέσαντος αὐτὸν μέλανας ἄρτους παρατιθέντος, μὴ πολλούς, εἶπε, παρατίθει, μὴ σκότος ποιήσῃς. (Βιβλ. σ. 435).

6. **Νικησίας** ὁ Ἀλεξάνδρου κόλαξ, φήσαντος Ἀλεξάνδρου δάκνεσθαι ὑπὸ μυιῶν καὶ προθύμως αὐτὰς ἀποσοβοῦντος, παρών εἶπεν· «ἤπου τῶν ἄλλων μυιῶν αὗται πολὺ κρατήτουσι,

τοῦ σοῦ γευσάμεναι αἵματος». Καὶ Χειρίσοφος ὁ Διονυσίου κόλαξ ἰδὼν Διονύσιον γελῶντα μετά τινων γνωρίμων, καὶ ἀπέχων ἀπ' αὐτῶν πλεῖω τόπον, ὡς μὴ συνακούειν, συνεγέλα. Ἐπεὶ δ' ὁ Διονύσιος ἠρώτησεν αὐτόν, διὰ τίνα αἰτίαν οὐ συνακούων τῶν λεγομένων γελᾷ, ἔφη· «ὑμῖν πιστεύω, διότι τὸ ῥηθὲν γελοῖόν ἐστι». Καὶ τοῦ υἱοῦ Διονυσίου κόλακες πολλοὶ ἐγένοντο, προσποιούμενοι μὴ ὀξὺ ὁρᾶν παρὰ τὸ δεῖπνον, ἐπεὶ ὁ Διονύσιος οὐκ ἦν ὀξυώπης, ἔψαυόν τε τῶν παρακειμένων ὡς οὐχ ὁρῶντες, ἕως ὁ Διονύσιος αὐτῶν τὰς χεῖρας πρὸς τἀλεκάρια προσῆγεν (Βιβλ. ς' σ. 442).

7. **Μενεκράτης** ὁ Συρακούσιος, ὁ Ζεὺς ἐπικαλούμενος, μέγα ἐφρόνει ὡς μόνος αἴτιος τοῦ ζῆν τοῖς ἀνθρώποις γενόμενος διὰ τῆς αὐτοῦ ἰατρικῆς. Πορφύραν δ' ἀεὶ ἡμφιεσμένος καὶ στέφανον χρυσοῦν ἐπὶ τῆς κεφαλῆς ἔχων καὶ σκῆπτρον κρατῶν περιῄει. Οὗτος Φιλίππῳ τῷ βασιλεῖ ἐπιστέλλων ἔγραψεν οὕτω: Μενεκράτης Ζεὺς Φιλίππῳ χαίρειν. Σὺ μὲν Μακεδονίας βασιλεύεις, ἐγὼ δὲ ἰατρικῆς. Καὶ σὺ μὲν ὑγιαίνοντας δύνασαι, ὅταν βουληθῇς, ἀπολλύναι, ἐγὼ δὲ τοὺς νοσοῦντας σῴζειν, καὶ τοὺς εὐρώστους ἀνόσους, οἷ ἂν ἐμοὶ πείθωνται, παρέχειν μέχρι γήρως ζῶντας. Τοιγαροῦν σὲ μὲν Μακεδόνες δορυφοροῦσιν, ἐμὲ δὲ καὶ οἱ ἀεὶ μέλλοντες ἔσεσθαι. Ζεὺς γὰρ ἐγὼ αὐτοῖς βίον παρέχω. Ὁ δὲ Φίλιππος ἀπέστειλε πρὸς αὐτὸν ὡς μελαγχολῶντα γράψας: «Φίλιππος Μενεκράτει ὑγιαίνειν». Καλέσας δ' αὐτόν ποτε ἐπὶ δεῖπνον συγκατέκλινεν ἐπὶ τῆς μέσης κλίνης ὑψηλότατα καὶ ἱεροπρεπέστατα κεκοσμημένης, καὶ τράπεζαν παραθείς, ἐφ' ἧς βωμὸς ἔκειτο καὶ τῶν ἀπὸ γῆς πάντων ἀπαρχαί. Καὶ ὁπότε τοῖς ἄλλοις προσφέρετο τὰ ἐδώδιμα, Μενεκράτει ἐθυμίων καὶ ἔσπενδον οἱ παῖδες. Τέλος ὁ καινὸς Ζεὺς γελώμενος ἔφυγεν ἐκ τοῦ συμποσίου (Βιβλ. Ζ' σ. 25).

8. Θύννος ὠνομάσθη ἀπὸ τοῦ θύειν τε καὶ ὁρμᾶν· ὁρμητικὸς γὰρ ὁ ἰχθὺς διὰ τὸ ἔχειν κατά τινα ὥραν οἶστρον ἐπὶ τῆς κεφαλῆς, ὑφ' οὗ φησιν ὁ Ἀριστοτέλης αὐτὸν ἐξελαύνεσθαι, γράφων οὕτως: Οἱ δὲ θύννοι καὶ οἱ ξιφίαι οἰστρῶσι περὶ κυνὸς ἐπιτολήν· ἔχουσι γὰρ ἀμφότεροι τηνικαῦτα παρὰ τὰ πτερύγια οἱονεὶ σκωλήκιον τὸν καλούμενον οἶστρον, ὅμοιον μὲν σκορπίῳ, μέγεθος δ' ἡλίκον ἀράχνης. Τοῦτο δὲ ποιεῖ ἐξάλλεσθαι οὐκ ἔλαττον τοῦ δελφῖνος, καὶ τοῖς πλοίοις πολλάκις ἐμπίπτουσιν (Βιβλ. Ζ' σ. 48).

9. Ὁ πέρδιξ ἐστὶ σχιδανόπους, ζῇ δὲ ἔτη πεντεκαίδεκα, ἡ δὲ θήλεια καὶ πλείονα· πολυχρονιώτερα γὰρ ἐν τοῖς ὄρνισι τῶν ἀρρένων τὰ θήλεα. Ἐπῳάζει δὲ καὶ ἐκτρέφει, καθάπερ ἡ ἀλεκτορίς. Ὅταν δὲ γνῷ ὅτι θηρεύεται, προελθὼν τῆς νεοττιᾶς παρὰ τὰ σκέλη τοῦ θηρεύοντος, ἐλπίδα ἐμποιῶν τοῦ συλληφθήσεσθαι, ἐξαπατᾷ τε, ἕως ἂν ἀποπτῶσιν οἱ νεοττοί· εἶτα καὶ αὐτὸς ἐξίπταται (Βιβλ. Θ' σ. 205).

10. **Ἀρκεσίλαος** ἑστιῶν τινας, καὶ ἐλλιπόντων τῶν ἄρτων, νεύσαντος τοῦ παιδὸς ὡς οὐκέτ' εἰσιν, ἀνακαγχάσας καὶ τῷ χεῖρε συγκροτήσας, ἀσϊόν τι, ἔφη, τὸ συμπόσιόν ἐστιν ἡμῶν, ἄνδρες φίλοι· ἄρτους ἐπιλελήσμεθα ἀρκοῦντας πριάσθαι· τρέχε δὴ παῖ». Καὶ τοῦτ' ἔλεγεν αὐτὸς γελῶν· καὶ τῶν παρόντων δ' ἅθρους ἐξεχύθη γέλως καὶ ἡ διαγωγὴ πλείων ἐνέπεσε καὶ διατριβή, ὥστε ἥδυσμα γενέσθαι τῷ συμποσίῳ τὴν τῶν ἄρτων ἔνδειαν (Βιβλ. Ι' σ. 261).

11. Πρῶτοι Συβαρῖται διὰ τροφὴν οὐκ εἶσαν τὰς ποιούσας ψόφον τέχνας ἐπιδημεῖν τῇ πόλει, οἷον χαλκέων καὶ τεκτόνων καὶ τῶν ὁμοίων, ὅπως αὐτοῖς πανταχόθεν ἀθόρυβοι ὦσιν οἱ ὕπνοι. Οὐκ ἐᾶν δ' οὐδ' ἀλεκτρυόνα ἐν τῇ πόλει τρέφεσθαι. Ἱστορεῖ δὲ περὶ αὐτῶν Τίμαιος, ὅτι ἀνὴρ Συβαρίτης εἰς ἀγρὸν ποτε πορευόμενος ἔφη, ἰδὼν τοὺς ἐργάτας σκάπτοντας, αὐτὸς ῥῆγμα λαβεῖν· πρὸς ὃν ἀποκρίνασθαί τινα τῶν ἀκουσάντων, «αὐτὸς δὲ σοῦ διηγουμένου πεπόνηκα τὴν πλευράν» (Βιβλ. ΙΒ'. σ. 447).

12. Συβαρῖται ἐξοκείλαντες εἰς τρυφὴν ἔγραψαν νόμον τὰς γυναῖκας εἰς τὰς ἑορτὰς καλεῖν, καὶ τοὺς εἰς τὰς θυσίας καλοῦντας περὶ ἑνιαυτοῦ τὴν παρασκευὴν ποιεῖσθαι, ἵνα ἀξίως ποιούμενοι τοῦ χρόνου τῶν θ' ἱματίων καὶ τοῦ λοιποῦ κόσμου, προάγωσιν οὕτω εἰς τὰς κλήσεις. Εἰ δέ τις τῶν ὀψοποιῶν ἢ μαγείρων ἥδιον εὕροι βρῶμα καὶ περιττόν, τὴν ἐξουσίαν μὴ εἶναι χρήσασθαι τούτῳ ἕτερον πρὸ ἑνιαυτοῦ, ἀλλ' αὐτῷ τῷ εὑρόντι τὸν χρόνον τοῦτον, ὅπως ὁ πρῶτος εὑρὼν καὶ τὴν ἐργασίαν ἔχῃ, πρὸς τὸ τοὺς ἄλλους φιλοπονοῦντας αὐτοὺς ὑπερβάλλεσθαι τοῖς τοιούτοις. Ὡσαύτως δὲ μήτε τοὺς τὰς ἐγχέλεις πωλοῦντας τέλος ἀποτίνειν μήτε τοὺς θηρεύοντας (Βιβλ. ΙΒ' σ. 453).

13. **Κλέαρχος** περὶ Γοργίου τοῦ Λεοντίου φησὶν ὅτι διὰ τὸ σωφρόνως ζῆν σχεδὸν ὀγδοήκοντα ἔτη τῷ φρονεῖν συνιέναι ὡσε. Καὶ ἐπεί τις αὐτὸν ἤρετο, τίνι διαίτῃ χρώμενος οὕτως ἐμμελῶς καὶ μετὰ αἰσθήσεως τοσοῦτον χρόνον ζήσειεν, οὐδέν πώποτε, εἶπεν, ἡδονῆς ἕνεκα πράξας. Δημήτριος δ' ὁ Βυζάντιος λέγει ὅτι Γοργίας ὁ Λεοντῖνος ἐρωτηθείς, τί αὐτῷ γέγονεν αἴτιον τοῦ βιῶσαι πλείω τῶν ἑκατὸν ἐτῶν, ἔφη, τὸ μηδὲν πώποτε ἑντέρου ἕνεκεν πεποιηκέναι.

14. **Κλεινίας** ὁ Πυθαγόρειος, εἴποτε συνέβαινε χαλεπαίνειν αὐτὸν δι' ὀργήν, ἀναλαμβάνων τὴν λύραν ἐκιθάριζεν. Πρὸς δὲ τοὺς ἐπιζητοῦντας τὴν αἰτίαν ἔλεγε «πραύνομαι». Καὶ ὁ Ὁμηρικὸς δὲ Ἀχιλλεὺς τῇ κιθάρᾳ κατεπραύνετο ἣν αὐτῷ ἐκ τῶν Ἠετίωνος λαφύρων μόνην Ὅμηρος χαρίζεται, καταστέλλειν τὸ πυρώδες αὐτοῦ δυναμένην (Βιβλ. ΙΔ' σ. 123).

ΛΕΞΙΚΟΝ

Α΄

Ἄβας (ὁ) — *αντος· ὄρος μυθώδες ἐν τῇ νήσῳ Ἐρυθείᾳ.

ἀβλαβὴς (ὁ ἡ), **ἀβλαβές** (τὸ), ὁ μὴ βλαβείς, ὁ μὴ παθών. Παραθετικὰ *ἀβλαβέστερος, ἀβλαβέστατος.

ἀγαθὸς, *η, όν· τὰ παραθετικὰ *ἀμείνων, ἄριστος λέγονται ἐπὶ ἱκανότητος· τὰ *βελτίων βέλτιστος ἐπὶ ἠθικῆς μορφώσεως· τὰ *κρείσσων κράτιστος ἐπὶ ὑπεροχῆς· τὸ *λώων λῶστος ἐπὶ πραγμάτων ἐπιθυμητῶν.

ἄγαν (ἐπιρρ.). *πολὺ· *ἄγαν πένης=πολὺ πτωχός.

ἀγανακτῶ (= ταράττομαι, ἀνησυχῶ)· *ἀγανακτῶ ἐπί τινι ἢ περί τινος (ἐμπροθ.διορισμὸς τῆς αἰτίας) =ταράττομαι, ἀνησυχῶ διά τι.

ἀγγέλλω, *ἤγγελον, ἀγγελῶ, ἤγγελα, ἤγγελκα (ἀναγγέλλω). Συντάσσεται αἰτιατικῇ καὶ δοτικῇ: *ἀγγελοῦντα Μεγαρεῦσι (τόδε), ἢν ἐπί. . . =διὰ νὰ ἀναγγείλῃ εἰς τοὺς Μεγαρεῖς (τὸ ἑξῆς), ἂν κτλ.

ἀγέλαστος (ὁ ἡ)—ον (τό)· ὁ μὴ γελῶν, ὁ πενθῶν. *Πέτρα ἀγέλαστος=πέτρα τοῦ πένθους.

ἀγέλη (ἡ)—*ης, πληθὺς βοσκημάτων, κοπάδι.

ἀγένειος (ὁ ἡ)— *ον (τὸ), ἄνευ γενείου. χ.ρ.ς γένεια.

ἀγέννητος (ὁ ἡ)— ον, (τὸ) ὁ μὴ γεννηθείς.

ἀγνοέω·ῶ, *ἠγνόουν, ἀγνοήσω, ἠγνόησα, ἠγνόηκα, *ἠγνοήκειν (= δὲν γνωρίζω). Παθητικὸν ἀγνοοῦμαι (=δὲν γνωρίζομαι, οἱ ἄλλοι δέν με γνωρίζουν), *ἀγνοήσομαι, *ἠγνοήθην, *ἠγνόημαι. *Ἀγνούμενος=ἐν ἀγνοίᾳ τῶν ἄλλων, χωρὶς νὰ γνωρίζεται ὑπὸ τῶν ἄλλων.

ἀγορεύω, *ἠγόρευον, ἀγορεύσω, *ἠγόρευσα, *ἠγόρευκα (=ὁμιλῶ ἐν ἀγορᾷ, ἤτοι συντελεύσει). Τὸ ῥῆμα τοῦτο σύνθετον μετὰ διαφόρων προθέσεων σχηματίζει μέλλοντα *σινερῶ, *κατερῶ κτλ. ἀόρ. *ἀπεῖπον, *προεῖπον, *ἀνεῖπον, παρακειμ. *ἀπείρηκα, *κατείρηκα, *συνείρηκα κτλ.

ἄγρα (ἡ) — *ας, τὸ κυνῆγι, τὸ ψάρεμα. *Ἐπ᾽ ἄγραν (διορ. τοῦ τελικοῦ αὐτίου)=διὰ κυνῆγι, διὰ ψάρεμα.

ἄγριος, *α, ον. *Τὰ ἄγρια τῶν λαχάνων (γενικὴ τοῦ ὅλου=ἐκ τῶν λαχάνων ὡς ὅλου τινὸς ἓν μέρος εἶναι τὰ ἄγρια. Καὶ σήμερον λέγομεν *ἄγρια λάχανα ἢ ἀγριολάχανα. Ἁπλῶς (τὰ) *ἄγρια (ἐνν. χωρία) =τόποι ἀκαλλιέργητοι, οἷον *ἄγρια πολλὰ παρελθών=διαβὰς πολλοὺς ἀκαλλιεργήτους τόπους.

ἀγριόω·ῶ, κάμνω ἄγριον. ἐξαγριόω. Συντ. μετ᾽ αἰτιατικ.

ἄγροικος, ὁ κατοικῶν ἐν τοῖς ἀγροῖς, ἐκτὸς δηλ. τῆς πόλεως, χωρικὸς καὶ μεταφορικῶς=ἀπαίδευτος, ἀμόρφωτος. Λέγεται καὶ *ἀγροῖκος. ἴσως ἰδίᾳ ἐπὶ τοῦ ἐν τοῖς ἀγροῖς κατοικοῦντος.

ἀγρὸς (ὁ)—οῦ, χωράφι καὶ ἐν γένει πᾶς ἐκτὸς τῆς πόλεως τόπος ἢ καὶ ἐκτὸς τοῦ χωρίου.

ἀγρότης (ὁ)—*ου. χωρικός.

ἄγχω, *ἤγχον· τὰ *ἄξω, *ἤγξα παρὰ ποιηταῖς καὶ μεταγενεστέροις συγγραφεῦσιν· σφίγγω τὸν λαιμὸν καὶ πνίγω. *Ἄγχων *ἑκατέρους ταῖς χερσὶ (δοτ. δυναμικὴ) *διέφθειρι=σφίγγων μὲ τὸ ἕνα καὶ μὲ τὸ ἄλλο χέρι ἐφόνευσεν.

ἄγω· *ἦγον, *ἄξω, *ἤγαγον, *ἦχα, *ἦχεα· παθητ. μέλλ. *ἀχθήσομαι, ἀόρ. *ἤχθην, παρακ. *ἦγμαι. μέσ. ἀόρ. β΄ *ἠγαγόμην· ὁ ἐνεργ. ἀόρ. *ἦξα σπάνιος, ὁ δὲ παρακ. *ἀγήοχα παρὰ τοῖς μεταγενεστέροις. Τὸ *φασὶν ἀχθῆναι ἰδὲ ἐν τῷ *φημί· τὸ *ἄγω δι᾽ αἰδοῦς=σέβομαι (ἰδὲ καὶ *αἰδώς)· τὸ *ἄγω ἡσυχίαν=ἡσυχάζω, περνῶ ἡσυχα. Πολλάκις τὸ *ἄγειν=ἀπάγειν, δηλ. φυγαδεύειν, οἷον *ὡς ἄγοι (Ιλ. 7 γ΄)=ὅτι ἀπάγει, φυγαδεύει. Τὸ μέσον *ἄγομαι γυναῖκα=λαμβάνω γυναῖκα ἢ παίρνω, νυμφεύομαι· *ἠγάγετο *Ἥρην=ἔλαβε γυναῖκα τὴν Ἥραν.

ἀγωγὴ (ἡ)—*ῆς. ὁδηγία, διεύθυνσις. προαγωγή, βελτίωσις· ἔτι τρόπος ζωῆς, δίαιτα. *Τῇ αὐτῇ ἀγωγῇ ἐχρῆτο=τὴν ἰδίαν δίαιταν εἶχε (ἰδὲ καὶ *χρῶμαι).

ἀγὼν (ὁ)—ῶνος, τόπος συναθροίσεως, ἔπειτα τόπος, ἐν ᾧ ἐγίνετο *πάλη, *δίσκος, ἅλμα, *πυγμή, *δρόμος· τέλος αὐτὰ ταῦτα τὰ ἀγωνίσματα. *Ἀγὼν στεφανίτης=ἀγών, καθ᾽ ὃν ὁ νικῶν ἀντημείβετο διὰ στεφάνου.

ἀγωνίζομαι· *ἠγωνιζόμην, ἀγωνιοῦμαι, *ἠγωνισάμην, *ἠγώνισμαι, *ἠγωνίσμην(=πολεμῶ.

ἄδεια (ἡ)=ας, ἀφοβία.

ἀδικέω-ῶ, ἠδίκουν, ἀδικήσω, ἠδίκησα, ἠδίκηκα, ἠδικήκειν· εἶμαι ἄδικος, κάμνω ἄδικον, βλάπτω. *Ἀδικούμενον φέρειν*=ἐν ᾧ ἀδικεῖται, νὰ ὑποφέρῃ (τις).

ἀδόκητος (ὁ ἡ)—*ον* (τὸ), ἀνέλπιστος.

ἀδοξέω-ῶ, ἠδόξουν· τὰ ἀδοξήσω ἠδόξησα παρὰ τοῖς μεταγενεστέροις· εἶμαι ἄδοξος, ἤτοι χωρὶς δόξαν, χωρὶς ὑπόληψιν.

ᾄδω, ᾄδον, ᾄσομαι, ἤσα=τραγουδῶ. Παθητ. ᾄδομαι, ἀόρ. ἤσθην.

ἀετὸς (ὁ)—οῦ ὡς καὶ σήμερον.

Ἀθηνᾶ (ἡ) ᾶς, θεὰ προστάτις τῶν Ἀθηνῶν. Τὸ *οἰὸν Ἀθηνᾶ καὶ χεῖρα κίνει* δηλοῖ ὅτι δὲν ἀρκεῖ μόνη ἡ ἐπίκλησις τῆς Ἀθηνᾶς, ἀλλ' ἀπαιτεῖται κίνησις, ἐνέργεια (*χεῖρα κίνει*) κατὰ τὸ κοινὸν *κινήσου καὶ νὰ σὲ βοηθήσω.*

Ἀθήναζε (ἐπιρρ. τοπικὸν), εἰς Ἀθήνας.

ἄθλος (ὁ)—ου, ἀγών.

ἀθόρυβος (ὁ ἡ)—*ον* (τὸ), ἀπηλλαγμένος θορύβου ἢ ἐνοχλήσεως.

ἄθρόος (*ἄθρους*) *α ον*· συνηθροισμένος, πολύς, *ἄθρους γέλως*=πολὺς γέλως, ἢ γέλως πολλῶν ὁμοῦ.

ἀθυμέω-ῶ, λυποῦμαι στενοχωροῦμαι.

αἰδοῦμαι, μέλλ. αἰδέσομαι ἀορ. ἠδέσθην καὶ ἠδεσάμην, παρακ. ᾔδεσμαι· ἐντρέπομαι νὰ κάμω κακόν τι, φοβοῦμαι, ἢ καὶ ἁπλῶς ἐντρέπομαι.

αἰδὼς (ἡ) — *ὡος* — *οῦς*, σεβασμός, τιμή. *Δι' αἰδοῦς* (διορ. τοῦ τρόπου)· *ἄγω τινὰ δι' αἰδοῦς*=αἰδοῦμαί τινα, σέβομαί τινα.

Αἰθίοψ (ὁ) — *οπος*· θηλ. *Αἰθιοπὶς—ίδος* καὶ ἐνίοτε ἡ *Αἰθίοψ* —*οπος* ἀράπης.

αἴλουρος (ὁ καὶ ἡ) — ου, γάτος καὶ ἰδίᾳ ἀγριόγατος.

αἷμα (τὸ)—*ατος.*

αἰνίττομαι· *ἠνιττόμην, αἰνίξομαι, ἠνιξάμην, ἤνιγμαι*· ὁμιλῶ ἢ κάμνω τι αἰνιγματωδῶς, τουτέστιν ἄλλα λέγω ἢ κάμνω καὶ ἄλλα ἐννοῶ.

αἴξ (ἡ) *γός*, ᾽γίδα, κατσίκα.

αἰπόλος (ὁ) —*ου* αἰγοβοσκός.

αἵρεσις (ἡ)—*εως*, ἐκλογή. Τὸ *αἵρεσιν ποιοῦμαι* περιφραστικῶς ἀντὶ τοῦ *αἱροῦμαι*=ἐκλέγω.

αἱρέω-ῶ, *ἥρουν, αἱρήσω* καὶ μεταγεν. *ἑλῶ, εἷλον, ἥρηκα, ἡρήκειν*· πιάνω συλλαμβάνω, κυριεύω. *Οὐδὲν εἷλον* = τίποτε δὲν ἔπιασαν· *ἡρήκει τὸν Μακεδόνα*= εἶχε καταλάβει, εἶχε κερδήσει τὸν Μακεδόνα, ἤτοι τὴν ἀγάπην ἢ εὔνοιαν τοῦ Μακεδόνος· *ἑλὼν τὴν πόλιν* = κυριεύσας τὴν πόλιν.

αἴρω· *ἦρον, ἀρῶ, ἦρα, ἦρκα, ἦρκην* (=σηκώνω, παίρνω, ὑψώνω). Μέσον *αἴρομαι, ἠρόμην, ἀροῦμαι* καὶ *ἀρθήσομαι* ἐνίοτε, *ἠρώμην* καὶ πολλάκις *ἤρθην, ἦρμαι, ἤρμην*. *Ἵνα ἄρῃς* = διὰ νὰ σηκώσῃς: *ἄρασα* (μετ. χρ.) = *ἆρ'* οὖ τὸ πῆρε. *Ἐπειδὰν ἄρηται* = *ἀφ'* οὗ σηκώσῃ (δι' ἑαυτόν)· *αἴροντος τοῦ στρατηγοῦ* = εἰ ὁ στρατηγὸς αἴροι = ἂν ὁ στρατηγὸς ἤθελεν ὑψώσει (φανόν)· *τοῦ δὲ πυρὸς* (=τῆς φλογὸς) *αἰρομένου ἐπὶ μέγα* = ἐπειδὴ δὲ ἡ φλὸξ ὑψοῦτο ἐπὶ μεγάλην ἔκτασιν· *αἴρων λίθους* = σηκώνων (καὶ ῥίπτων) λίθους.

αἰσθάνομαι, *ᾐσθανόμην, αἰσθήσομαι, ᾐσθόμην, ᾔσθημαι, ᾐσθήμην*· μανθάνω διά τινος ἐκ τῶν πέντε αἰσθήσεων (ἄρα= ἀκούω, ὁρῶ, ὀσφραίνομαι, γεύομαι, ἅπτομαι)· ἐννοῶ. Συντάσσεται προτάσει εἰδικῇ, οἷον *αἰσθόμενοι ὡς οὐκ ἔχει* = ἐννοήσαντες ὅτι δὲν ἔχει· *αἰσθόμενος* = ἐννοήσας, ἀκούσας, μαθών.

αἰσθανόμενος,—*η, ον*· ἰδὲ *αἰσθάνομαι.*

αἰσχρός, *α, ον,* ἄσχημος· παραθ. *αἰσχίων, αἴσχιστος.*

αἰτέω-ῶ, *ᾔτουν, αἰτήσω, ᾔτησα*· ὁ παρακ. *ᾔτηκα* καὶ ὑπερσ. *ᾐτήκειν* παρὰ τοῖς μεταγενεστέροις. Μέσον *αἰτοῦμαι* = αἰτῶ ἐμαυτῷ, ἤτοι ζητῶ δι' ἐμαυτόν. Συντάσσεται μετὰ δύο αἰτιατικῶν, οἷον: *Ἡρακλῆς αἰτεῖ Πλούτωνα τὸν Κέρβερον* = ζητεῖ ἀπὸ τὸν Πλουτ. τὸν Κέρβερον· καὶ ἄλλη σύνταξις *αἰτῶ τι παρά τινος*, οἷον *ἤτει ἔρανον παρὰ τῶν σκευῶν.*

αἰτία (ἡ) — *ας*, ὡς καὶ σήμερον· *δι' ἣν αἰτίαν* (ἰδὲ *διά*).

αἰτιάομαι-ῶμαι, *ᾐτιώμην, αἰτιάσομαι, ᾐτιασάμην, ᾔτίαμαι*· κατηγορῶ· *ᾐτιάθην*=κατηγορήθην.

ἀκαταγώνιστος (ὁ ἡ)—*ον* (τὸ), τὸν ὁποῖον δὲν δύναταί τις νὰ καταβάλῃ, ἀκατάβλητος, ἀνίκητος. *Δυνάμει ἀκαταγώνιστος*=διὰ τὴν δύναμιν ἀνίκητος.

ἀκολουθέω-ῶ, *ἠκολούθουν, ἀκολουθήσω, ἠκολούθησα, ἠκολούθηκα, ἠκολουθήκειν.* Συντάσσεται μετὰ δοτικῆς.

ἀκονάω-ῶ, (= ἀκωνίζω)· μελλ. *ἀκονήσω.*

ἀκοντίζω, *ἠκόντιζον, ἀκοντιῶ, ἠκόντισα*· ῥίπτω ἀκόντιον, ῥίπτω τι ὡς ἀκόντιον. *Ἠκόντιζον πέτρας καὶ ὀρῦς.*

ἀκόντιον (τὸ) — ου, ξύλον εὐθύ, καὶ μὲ χαλκῆν καὶ ὀξεῖαν κορυφήν, τὸ ὁποῖον ἐν πολέμῳ

ῥίπτοντες διετρύπων τὰ σώματα τῶν ἐχθρῶν δόρυ.

Ἀκούης (ὁ) — *ου* στρατηγὸς τῶν Ἀρκάδων.

ἀκούω, *ἤκουον, ἀκούσομαι, ἤκουσα, ἀκήκοα, ἀκηκόειν.* Συντάσσεται μετ' αἰτιατικῆς, οἷον: *ἀκούω τὸν ἦχον,* ἢ μετ' ἀπαρεμφάτου, οἷον: *ἤκουσε γελᾶν τοὺς Συρακουσίους* = ἤκ. ὅτι γελῶσιν οἱ Συρακούσιοι· ἐννοοῦμεν δὲ πάντοτε εἰς τὴν σύνταξιν ταύτην ὅτι δὲν *ἀκούει τις ὁ ἴδιος, ἀλλὰ παρ' ἄλλων ἀκούει* καὶ μανθάνει· ἀντὶ ἀπαρεμφάτου οἱ μεταγενέστεροι μεταχειρίζονται ἀνάλυσιν, οἷον *ἀκούσας* (= ἐπεὶ ἤκουσεν) *ὅτι ὄρνιθες νοσοῦσιν* ἀντὶ τοῦ *ὄρνιθας νοσεῖν·* προσέτι συντάσσεται μετὰ γενικῆς προσώπου καὶ ἀπαρεμφάτου, οἷον: *ἤκουσε* (παρὰ) *τοῦ μάντεως σημαίνεσθαι* = ὅτι σημαίνεται: *ἀκούσεσθαι* (ἐνν. ἔφασκε) = (ἔλεγεν) ὅτι θὰ ἀκούσωμεν τὸ δὲ *ἐφ' οἷς λυπηθήσεσθαι* (καθ' ἕλξιν ἐκ τοῦ προηγουμένου ἀπαρεμφάτου καὶ ἐν ὁμοίᾳ ἐξαρτήσει) = διὰ τὰ ὁποῖα (ἔλεγεν ὅτι) θὰ λυπηθῶμεν· καὶ μετὰ μετοχῆς κατηγορηματικῆς, οἷον *ἤκουσα ὀγκωμένου* = ἤκουσα νὰ γκαρίζῃς.

ἀκριβῶς (ἐπιρρ.) *πάνυ ἀκριβῶς*=μὲ πολλὴν ἀκρίβειαν.

ἀκροατὴς (ὁ) — οῦ, ὁ ἀκούων ἓν μάθημα, μαθητής.

ἀκρόδρυον (τὸ)— *ου,* ἰδίᾳ λέγεται ὁ καρπὸς ὁ ἔχων ξυλώδη φλοιόν, ἔπειτα δὲ πᾶς καρπός. *Τὸ ἀκρόδρυον καλεῖται δαμασκηνὸν* (κατηγορούμενον).

ἄκων (ὁ) *οντος,* ὁ μὴ θέλων· ἐξηγεῖται πάντοτε ὡς ἐπίρρημα = ἀκουσίως, παρὰ θέλησιν, οἷον: *Λακεδαιμονίων ἀκόντων* = παρὰ τὴν θέλησιν τῶν Λακεδαιμονίων.

ἀλαλάζω, *ἠλάλαζον, ἀλαλάξω, ἠλάλαξα* καὶ πλέον οὖ· φωνάζω ἀλαλά, φωνάζω δυνατὰ· τὴν φωνὴν ἄλα ἐπαναληπτικῶς καὶ μὲ τὰ α μακρὰ καὶ σήμερον μεταχειριζόμεθα πρὸ πάντων κατορθοῦντές τι· οἱ ἀρχαῖοι *ἠλάλαζον* νικῶντες.

ἄλας· ἰδὲ *ἅλς.*

ἀλγέω-ῶ, *ἤλγουν, ἀλγήσω, ἤλγησα* καὶ πλέον οὖ πονῶ. Οἱ ποιηταὶ καὶ οἱ μεταγενέστεροι συγγραφεῖς συντάσσουσι τὸ ῥῆμα μετ' αἰτιατικῆς (τῆς ἀναφορᾶς), ὅπου τὸ ἄλγος ἀναφέρεται, οἷον: *ἤλγει τὸν ὦμον*= ἐπονοῦσε τὴν πλάτην· ἡ λαλουμένη, ὅμως γλῶσσα πολλάκις μεταβάλλει τὴν αἰτιατικὴν ταύτην εἰς ὀνομαστικὴν (ὑποκείμενον) οἷον *μὲ πονεῖ ἡ πλάτη, ἡ μέση.* Τὸ *ἀλγῶ ἐπί τινι* = λυποῦμαι δι' ἕν πρᾶγμα.

ἀλεκτορὶς (ἡ) — *ίδος,* ὄρνιθα.

ἀλεκτρυὼν (ὁ) — *όνος,* πετεινός.

ἀλέω-ῶ (=ἀλέθω)· οἱ χρόνοι *ἤλουν, ἤλεσα* (παρ' Ὁμήρῳ *ἄλεσσα*), πρκ. *ἀλήλεκα* εἶναι τὸ μὲν παρὰ ποιηταῖς, τὸ δὲ παρὰ συγγραφεῦσι μεταγενεστέροις. Παθ. παρακ. *ἀλήλεμαι·* ὅθεν σῖτος *ἀλημένος* = σῖτος ἀλεσμένος· οἱ χρόνοι *ηλέσθην, ἤλεσμαι* παρὰ τοῖς νεωτέροις. *Ἀλοῦντες* =ἀλέθοντες.

ἀληθεύω, λέγω τὴν ἀλήθειαν.

ἀληθῶς (ἐπιρρ. τροπικὸν) = πράγματι· *ἀληθῶς καλὸν*=πράγματι ὡραῖον (ἰδὲ τὸ ῥῆμα θέλω).

ἀλιεὺς (ὁ)—*έως,* ψαρᾶς.

ἁλίσκομαι (=κυριεύομαι), *ἡλισκόμην, ἁλώσομαι, ἑάλων* καὶ ἐνίοτε *ἥλων, ἑάλωκα* καὶ ἐνίοτε *ἥλωκα. Ὅτε ἑάλω*=ὅτε ἐκυριεύθη. Τὸ *ἁλίσκομαι* εἶναι τὸ παθητικὸν τοῦ *αἱρῶ.*

ἀλλά, σύνδ. ἐναντιωματικός (ἰδὲ καὶ *οὐ*).

ἀλλάσσω (= ἀλλάζω), *ἤλλασσον, ἀλλάξω, ἤλλαξα, ἤλλαχα, ἠλλάχειν.* Λέγεται καὶ *ἀλλάττω.*

ἄλλομαι (=πηδῶ), *ἠλλόμην, ἀλοῦμαι, ἡλάμην,* ἄνευ παρακ. καὶ ὑπερσυντελικοῦ.

ἄλλος, *η, ο* (ἀντων.) Τὸ οὐδέτερον ἄλλο ὡς διορισμὸς τῆς ἀναφορᾶς ἀκολουθεῖ δὶς καὶ τρὶς κατόπιν τοῦ *ἕν,* οἷον· *ἓν μέν... ἄλλο δὲ* = ὑπὸ μίαν ὄψιν, *ὑπ' ἄλλην δὲ ὄψιν.* Ἐν τοιαύτῃ σημασίᾳ συνεθίζονται πρὸ πάντων τὰ: *τὸ μὲν — τὸ δὲ· τὰ μὲν — τὰ δὲ· τοῦτο μὲν — τοῦτο δὲ* = ἐν μέρει μὲν—ἐν μέρει δέ.

ἀλλότριος, *α, ον,* ξένος, ἐχθρός. *Ἀλλοτρίων* (μυθ. 30) ἐνν. κακῶν.

ἀλουργὴς (ὁ ἡ) — ὲς (τὸ)· ὁ βεβαμμένος διὰ γνησίας πορφύρας, ὁ πορφυρόβαπτος· ἡ πορφύρα εἶναι χρῶμα ἅλικον κόκκινον.

ἅλς (ὁ) — ὁς· ἅλας· καὶ πληθυντικῶς *ἅλες* = ἅλας· οἷον *βαστάζων ἅλας.*

ἅλφιτα (τά)· ἰδὲ ἀλφιτόπωλις.

ἀλφιτόπωλις (ἡ)—*ιδος*· ἡ πωλοῦσα ἅλφιτα, ἤτοι κριθὰς ἀφρισμένας τὸν φλοιὸν καὶ κοπανισμένας.

ἀλώπηξ (ἡ) — *εκος,* ἀλωποῦ (ἰδὲ τὸ ῥῆμ. *ἔχω*).

Ἀμαζὼν (ἡ)—*όνος* καὶ συνήθως κατὰ πληθ. ἀριθμ. *Ἀμαζόνες,* ἔθνος γυναικῶν πολεμικῶν, αἱ ὁποῖαι κατῴκουν ἐν Σκυθίᾳ.

ἀμάλθεια (ἡ) — *ας*, αἶξ, τῆς ὁποίας τὸ γάλα ἐχρησίμευεν εἰς τροφὴν τοῦ Διός.

ἀμαχεί (ἐπιρρ. τροπικόν), ἄνευ μάχης, χωρὶς νὰ πολεμήσῃ.

ἀμάω-ῶ (= θερίζω), ῥῆμα σύνηθες εἰς τοὺς ποιητάς, ἔχον τοὺς ἑξῆς χρόνους: *ἤμων, ἀμήσω, ἤμησα* παθ. παρ. *ἤμημαι* ἀόρ. *ἠμήθην*. Καὶ τὸ μέσον *ἀμῶμαι* (= θερίζω δι' ἑαυτόν) εἶναι ποιητικόν, σπάνιον δὲ παρὰ τοῖς πεζοῖς. *Ἀμώμεθα* = θερίζομεν, ἀπολαύομεν.

ἀμείνων· ἰδὲ *ἀγαθός*.

ἀμέλεια (ἡ) — *ας* *Ἀμελείᾳ* δοτ. τῆς αἰτίας) = ἐξ ἀμελείας, δι' ἀμέλειαν) τοῦ πρότερον ἔχοντος, ὅτι δηλ. ὁ ἔχων αὐτὸν προτήτερα ἠμέλει).

ἀμελέω-ῶ (= δὲν φροντίζω, παραμελῶ)· *ἠμέλουν, ἀμελήσω, ἠμέλησα, ἠμέληκα*. Συντ. μετὰ γενικῆς, οἷον: *ἀμελήσας τοῦ δρόμου* = παραμελήσας ἢ ἀφήσας τὸ τρέξιμον· *ἀμελῶν πράγματος ἀναγκαίου*.

ἀμητός (ὁ) — *οῦ*· κατά τινας *ἄμητος-ου* λέγεται ὁ καιρὸς τοῦ θερίζειν, καὶ *ἀμητός-οῦ* ἡ ἐνέργεια τοῦ θερίζειν καὶ ὁ καρπὸς ὁ τεθερισμένος. *Καιρὸς ἀμητοῦ* = ὁ καιρὸς νὰ θερίσωσιν.

ἀμήχανος (ὁ ἡ) — *ον* (τό), ἄνευ μηχανῆς ἢ μέσου, ἀδύνατος.

ἀμηχανέω-ῶ· στερροῦμαι μηχανῆς ἢ τροπὸν ἢ μέσου, ἀδυνατῶ.

ἀμουσία (ἡ) — *ας*, ἔλλειψις τῆς αἰσθήσεως τοῦ καλοῦ, τοῦ ὡραίου καὶ πρὸ πάντων τοῦ ἐκ τῆς μουσικῆς· εἶτα ἀπαιδευσία.

ἄμουσος (ὁ ἡ) — *ον* (τό), ὁ ἄπειρος τῆς μουσικῆς, ὁ ἀπαίδευτος.

Ἀμυμώνη (ἡ) — *ας*, πηγὴ λαβοῦσα τὸ ὄνομα ἐκ μιᾶς τῶν Δαναΐδων, καλουμένης Ἀμυμώνης.

ἀμφὶ (πρόθεσις ἰσοδύναμος τῇ *περί*)[1] *οἱ ἀμφί τινα* = οἱ πέριξ τινὸς ὑπάρχοντες, οἱ ἀκόλουθοι (οὗτοι δὲ εἶναι ἢ μαθηταί, ἢ ὀπαδοί, ἢ σύντροφοι, ἢ στρατιῶται). *Οἱ ἀμφὶ Πελοπίδαν* = ὁ Πελοπίδας μὲ τοὺς στρατιώτας του· *ὁρῶν τοὺς ἀμφ' αὐτὸν* = βλέπων τοὺς μαθητάς του.

ἀμφιέννυμι (= ἐνδύω)· *ἠμφίεννυν, ἀμφιῶ, ἠμφίεσα* ἄνευ παρακ. καὶ ὑπερσυντελικοῦ. Μέσον *ἀμφιέννυμαι* (= ἐνδύομαι), *ἠμφιεννύμην, ἀμφιέσομαι, ἠμφιεσάμην, ἠμφίεσμαι, ἠμφιέσμην*. Συντ. μετ' αἰτιατικῆς, οἷον: *ἠμφιεσμένος πορφύραν* = ἐνδεδυμένος πορφύραν.

ἀμφίστομος (ὁ ἡ) — *ον* (τό)· ἐπὶ μαχαίρας = ἡ κόπτουσα καὶ ἀπὸ τὰ δύο μέρη, μάχαιρα δίστομος· ἐπὶ σπηλαίου = τὸ ἔχον δύο εἰσόδους.

Ἀμφιτρύων (ὁ) — *ονος*, υἱὸς Ἀλκαίου βασιλέως τῆς Τίρυνθος καὶ ἔγγονος τοῦ Περσέως.

Οὗτος φυγὼν μετὰ τῆς γυναικός του *Ἀλκμήνης* ἐκ Τίρυνθος ἦλθεν εἰς Θήβας παρὰ τῷ βασιλεῖ Κρέοντι. Ἐνταῦθα ἡ Ἀλκμήνη ἐγέννησεν ἐκ τοῦ Διὸς τὸν Ἡρακλέα.

ἀμφότερος, α, ον· *ἀμφοτέρας* = καὶ τὰς δύο μαζί.

ἄμφω, καὶ οἱ δύο.

ἀμῶμεθα· ἰδὲ *ἀμάω-ῶ*.

ἄν α' συνδ. ὑποθετικὸς μεθ' ὑποτακτικῆς, οἷον: *ἂν ξηρανθῇ*· β' μόριον δυνητικὸν μετ' εὐκτικῆς, οἷον: *εἴην ἄν* = ἴσως θὰ ἤμην· *προκάπτοιεν ἄν* = δύνανται νὰ προοδεύσωσιν· *οὐδεὶς μωρὸς δύναιτο ἄν* (= οὐδεὶς δύναιτο ἄν, εἰ μωρὸς εἴη) = κανεὶς μωρὸς δὲν θὰ ἠδύνατο· ἔτι μετὰ χρόνου παρῳχημένου καθ' ὁριστικήν, οἷον: *οὐκ ἂν ἐκίνεις* = ἴσως δὲν θὰ ἐκίνεις· *ἀξιώσατε ἄν* = θὰ εἴχετε τὴν ἀπαίτησιν (ἰδὲ καὶ τὸ ῥῆμα *ἀξιῶ*).

ἀνά, πρόθεσις σημαίνουσα κίνησιν ἐκ τῶν κάτω εἰς τὰ ἄνω καὶ δὴ καὶ ἔκτασιν τοπικήν, οἷον: *ἀνὰ τὸ πεδίον* = ἀπὸ τὸ κάτω μέρος τῆς πεδιάδος ἕως ἐπάνω, καθ' ὅλην τὴν πεδιάδα. Ἡ πρόθεσις αὕτη σημαίνουσα ἰδίως τὸ ἄνω ἤτοι τὴν πρώτην ἀρχὴν μεταπίπτει εἰς τὴν σημασίαν τοῦ *ὀπίσω, πάλιν*. Ἐκ τῆς σημασίας ταύτης γεννᾶται καὶ ἡ σημασία τῆς *διανομῆς*, οἷον: *ἀνὰ ἑκατὸν* = ἑκατὸν καὶ πάλιν ἑκατόν, ἤτοι ἑκατὸν ὁ ἕνας καὶ πάλιν ἑκατὸν ὁ ἄλλος καὶ οὕτω καθεξῆς, ἑπομένως τὸ *ἀνὰ ἑκατὸν* = ἕκαστος ἑκατόν.

ἀναβαίνω· οἱ χρόνοι ὡς τοῦ *βαίνω* (ἰδέ)· *ἀναβὰς* = ἐπεὶ ἀνέβη, ἀφ' οὗ ἀνέβη· *ἀναβησόμεθα* = θὰ ἀναβῶμεν.

ἀναβάς· ἰδὲ *ἀναβαίνω*.

ἀναβάλλω (οἱ χρόνοι ὡς τοῦ *βάλλω*)· ῥίπτω ὀπίσω, κάμνω τι ἀργότερα. Μέσον *ἀναβάλλομαι* = κάμνω τι ἀργότερα.

ἀνάγκη (ἡ) — *ης*.

ἀναγορεύω, (οἱ χρόνοι ὡς τοῦ *ἀγορεύω*, ὅπερ ἰδέ)· λέγω ὑψηλῇ τῇ φωνῇ, διαλαλῶ.

